otherwise it-seemed — to-Zeus not let-us-lose-heart then

POVERTY ποῖ τοῦτον ἀπάγεις, ὦ Ἀργειφόντα, 32
where this-one are-you-leading-off O Argeiphontes
χειραγωγῶν;
leading-him-by-the-hand

HERMES ἐπὶ τουτονὶ τὸν Τίμωνα ἐπέμφθημεν ὑπὸ τοῦ Διός.
to this-here — Timon we-were-sent by — Zeus

POVERTY νῦν ὁ Πλοῦτος ἐπὶ Τίμωνα, ὁπότε αὐτὸν ἐγὼ κακῶς
now — Wealth to Timon when him I badly
ἔχοντα ὑπὸ τῆς Τρυφῆς παραλαβοῦσα, τουτοισὶ παραδοῦσα,
faring by — Luxury having-taken-over to-these having-handed-over
τῇ Σοφίᾳ καὶ τῷ Πόνῳ, γενναῖον ἄνδρα καὶ πολλοῦ ἄξιον
— Wisdom and — Toil noble man and much worth
ἀπέδειξα; οὕτως ἄρα εὐκαταφρόνητος ὑμῖν ἡ Πενία δοκῶ
showed so then easily-despised by-you — Poverty do-I-seem
καὶ εὐαδίκητος, ὥσθ' ὃ μόνον κτῆμα εἶχον ἀφαιρεῖσθαί
and easily-wronged that what only possession I-had to-be-robbed
με, ἀκριβῶς πρὸς ἀρετὴν ἐξειργασμένον, ἵνα αὖθις ὁ
me exactly toward virtue wrought that again —
Πλοῦτος παραλαβὼν αὐτὸν Ὕβρει καὶ Τύφῳ ἐγχειρίσας
Wealth having-taken him to-Insolence and Conceit having-entrusted
ὅμοιον τῷ πάλαι μαλθακὸν καὶ ἀγεννῆ καὶ ἀνόητον
like to-the former soft and ignoble and foolish
ἀποφήνας ἀποδῷ πάλιν ἐμοὶ ῥάκος ἤδη γεγενημένον;
having-made he-may-give-back again to-me rag already having-become
HERMES ἔδοξε ταῦτα, ὦ Πενία, τῷ Διί·
it-seemed these-things O Poverty — to-Zeus

Poverty goes off with her companions, saying Timon will soon learn what a fellow worker he has lost. Timon threatens Hermes and Wealth with clods, stones, and his mattock. Hermes warns him not to be churlish to the gods; Timon thanks Zeus but refuses Wealth, who has brought him only ruin, while Poverty made him a man. He lets Wealth speak for Hermes' sake, and Wealth answers that Timon wronged him by throwing him to flatterers. Timon yields, since the gods compel, though he dreads the cares; Hermes flies off, Treasure answers the mattock, and Timon finds the gold, rejoices, and understands why Zeus once became gold to reach a maiden.

POVERTY ἀπέρχομαι· καὶ ὑμεῖς δέ, ὦ Πόνε καὶ Σοφία καὶ 33
I-go-off and you and O Toil and Wisdom and
οἱ λοιποί, ἀκολουθεῖτέ μοι. οὗτος δὲ τάχα εἴσεται, οἵαν
the rest follow me this-one and soon will-know what-sort
με οὖσαν ἀπολείψει, ἀγαθὴν συνεργὸν καὶ διδάσκαλον
me being he-will-leave good fellow-worker and teacher
τῶν ἀρίστων, ᾗ συνὼν ὑγιεινὸς μὲν τὸ σῶμα,
of-the best-things with-whom living-with healthy indeed in-the body
ἐρρωμένος δὲ τὴν γνώμην διετέλεσεν, ἀνδρὸς βίον ζῶν
strong and in-the mind he-continued of-man life living
καὶ πρὸς αὑτὸν ἀποβλέπων, τὰ δὲ περιττὰ καὶ πολλὰ
and toward himself looking the and superfluous-things and many
ταῦτα, ὥσπερ ἐστίν, ἀλλότρια ὑπολαμβάνων.
these as-indeed they-are another's supposing
HERMES ἀπέρχονται· ἡμεῖς δὲ προσίωμεν αὐτῷ.
they-go-off we and let-us-approach him
TIMON τίνες ἐστέ, ὦ κατάρατοι; ἢ τί βουλόμενοι δεῦρο 34
who are-you O accursed-ones or what wishing hither
ἥκετε ἄνδρα ἐργάτην καὶ μισθοφόρον ἐνοχλήσοντες; ἀλλ'
do-you-come man worker and wage-earner going-to-trouble but

οὐ χαίροντες ἄπιτε μιαροὶ πάντες ὄντες· ἐγὼ γὰρ ὑμᾶς
not rejoicing go-off foul all being I for you
αὐτίκα μάλα βάλλων τοῖς βώλοις καὶ τοῖς λίθοις συντρίψω.
at-once very throwing with-the clods and the stones will-crush

HERMES μηδαμῶς, ὦ Τίμων, μὴ βάλῃς· οὐ γὰρ ἀνθρώπους
by-no-means O Timon do-not throw not for men
ὄντας βαλεῖς, ἀλλ' ἐγὼ μὲν Ἑρμῆς εἰμι, οὑτοσὶ δὲ ὁ
being you-will-throw-at but I indeed Hermes am this-here and —
Πλοῦτος· ἔπεμψε δὲ ὁ Ζεὺς ἐπακούσας τῶν εὐχῶν, ὥστε
Wealth sent and — Zeus having-heard the prayers so-that
ἀγαθῇ τύχῃ δέχου τὸν ὄλβον ἀποστὰς τῶν πόνων.
with-good fortune receive the prosperity having-stood-off-from the toils

TIMON καὶ ὑμεῖς οἰμώξεσθε ἤδη καίτοι θεοὶ ὄντες, ὥς φατε·
and you will-howl now though gods being as you-say
πάντας γὰρ ἅμα καὶ ἀνθρώπους καὶ θεοὺς μισῶ, τουτονὶ
all for together both men and gods I-hate this-here
δὲ τὸν τυφλόν, ὅστις ἂν ᾖ, καὶ ἐπιτρίψειν μοι
and the blind-one whoever — he-may-be also to-be-going-to-crush to-me
δοκῶ τῇ δικέλλῃ.
I-seem with-the mattock

WEALTH ἀπίωμεν, ὦ Ἑρμῆ, πρὸς τοῦ Διός, μελαγχολᾶν
let-us-go-off O Hermes by — Zeus to-be-melancholy
γὰρ ὁ ἄνθρωπος οὐ μετρίως μοι δοκεῖ, μή τι κακὸν
for the man not moderately to-me seems lest something bad
ἀπέλθω προσλαβών.
I-go-off having-gotten-besides

HERMES μηδὲν σκαιόν, ὦ Τίμων, ἀλλὰ τὸ πάνυ τοῦτο
nothing gauche O Timon but the very this
ἄγριον καὶ τραχὺ καταβαλὼν προτείνας τὼ χεῖρε
savage and rough having-thrown-down having-stretched-out the two-hands
λάμβανε τὴν ἀγαθὴν τύχην καὶ πλούτει πάλιν καὶ ἴσθι
receive the good fortune and be-rich again and be

Ἀθηναίων τὰ πρῶτα καὶ ὑπερόρα τῶν ἀχαρίστων ἐκείνων
of-Athenians the first and look-down-on the ungrateful those
μόνος αὐτὸς εὐδαιμονῶν.
only yourself being-happy
TIMON οὐδὲν ὑμῶν δέομαι· μὴ ἐνοχλεῖτέ μοι· ἱκανὸς ἐμοὶ
nothing of-you I-need do-not trouble me sufficient for-me
πλοῦτος ἡ δίκελλα, τὰ δ' ἄλλα εὐδαιμονέστατός εἰμι
wealth the mattock the and other most-happy I-am
μηδενός μοι πλησιάζοντος.
no-one me approaching
HERMES οὕτως, ὦ τάν, ἀπανθρώπως;
so O my-good-sir inhumanly

τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε;
this-here am-I-to-bring to-Zeus word harsh both strong both

καὶ μὴν εἰκὸς ἦν μισάνθρωπον μὲν εἶναί σε τοσαῦτα
and truly likely it-was man-hating indeed to-be you so-many
ὑπ' αὐτῶν δεινὰ πεπονθότα, μισόθεον δὲ μηδαμῶς,
by them terrible-things having-suffered god-hating but by-no-means
οὕτως ἐπιμελουμένων σου τῶν θεῶν.
so caring-for you the gods
TIMON ἀλλὰ σοὶ μέν, Ἑρμῆ, καὶ τῷ Διὶ πλείστη χάρις 36
but to-you indeed Hermes and — to-Zeus most thanks
τῆς ἐπιμελείας, τουτονὶ δὲ τὸν Πλοῦτον οὐκ ἂν λάβοιμι.
for-the care this-here but — Wealth not — would-I-take
HERMES τί δή;
why indeed
TIMON ὅτι καὶ πάλαι μυρίων μοι κακῶν αἴτιος οὗτος
because also long-ago of-countless to-me evils cause this-one
κατέστη κόλαξί τε παραδοὺς καὶ ἐπιβούλους
was-made to-flatterers both having-handed-me-over and plotters

ἐπαγαγὼν καὶ μῖσος ἐπεγείρας καὶ ἡδυπαθείᾳ διαφθείρας
having-brought-in and hatred having-roused and by-luxury having-corrupted
καὶ ἐπίφθονον ἀποφήνας, τέλος δὲ ἄφνω καταλιπὼν
and envied having-made at-the-end and suddenly having-left
οὕτως ἀπίστως καὶ προδοτικῶς· ἡ βελτίστη δὲ Πενία
so faithlessly and treacherously the best but Poverty
πόνοις με τοῖς ἀνδρικωτάτοις καταγυμνάσασα καὶ μετ᾽
with-toils me the manliest having-trained and with
ἀληθείας καὶ παρρησίας προσομιλοῦσα τά τε ἀναγκαῖα
truth and frankness associating the both necessary-things
κάμνοντι παρεῖχε καὶ τῶν πολλῶν ἐκείνων καταφρονεῖν
to-me-laboring supplied and the many those to-despise
ἐπαίδευεν, ἐξ αὐτοῦ ἐμοῦ τὰς ἐλπίδας ἀπαρτήσασά μοι
taught from myself me the hopes having-hung for-me
τοῦ βίου καὶ δείξασα ὅστις ἦν ὁ πλοῦτος ὁ ἐμός, ὃν
of-the life and having-shown what was the wealth the my which
οὔτε κόλαξ θωπεύων οὔτε συκοφάντης φοβῶν, οὐ δῆμος
neither flatterer fawning nor informer frightening not people
παροξυνθείς, οὐκ ἐκκλησιαστὴς ψηφοφορήσας, οὐ τύραννος
provoked not assemblyman having-voted not tyrant
ἐπιβουλεύσας ἀφελέσθαι δύναιτ᾽ ἄν.
having-plotted to-take-away could —

37 ἐρρωμένος τοιγαροῦν ὑπὸ τῶν πόνων τὸν ἀγρὸν τουτονὶ
strong therefore by the toils the field this-here
φιλοπόνως ἐπεργαζόμενος, οὐδὲν ὁρῶν τῶν ἐν ἄστει
industriously working-at nothing seeing of-the in city
κακῶν, ἱκανὰ καὶ διαρκῆ ἔχω τὰ ἄλφιτα παρὰ τῆς
evils sufficient and enough I-have the barley-meal from the
δικέλλης. ὥστε παλίνδρομος ἄπιθι, ὦ Ἑρμῆ, τὸν Πλοῦτον
mattock so-that running-back go-off O Hermes — Wealth

ἐπανάγων τῷ Διί· ἐμοὶ δὲ τοῦτο ἱκανὸν ἦν, πάντας
bringing-back — to-Zeus to-me and this sufficient was all
ἀνθρώπους ἡβηδὸν οἰμώζειν ποιῆσαι.
men from-youth-up to-howl to-make

HERMES μηδαμῶς, ὦγαθέ· οὐ γὰρ πάντες εἰσὶν ἐπιτήδειοι
by-no-means my-good-man not for all are fit
πρὸς οἰμωγήν. ἀλλ' ἔα τὰ ὀργίλα ταῦτα καὶ μειρακιώδη
for howling but let-go the angry these and childish
καὶ τὸν Πλοῦτον παράλαβε. οὗτοι ἀπόβλητά ἐστι τὰ
and — Wealth receive not-surely to-be-thrown-away are the
δῶρα τὰ παρὰ τοῦ Διός.
gifts the from — Zeus

WEALTH βούλει, ὦ Τίμων, δικαιολογήσωμαι πρὸς σέ; ἢ
do-you-wish O Timon shall-I-plead-my-case to you or
χαλεπανεῖς μοι λέγοντι;
will-you-be-angry with-me speaking

TIMON λέγε, μὴ μακρὰ μέντοι, μηδὲ μετὰ προοιμίων, ὥσπερ
speak not long-things however nor with preambles like
οἱ ἐπίτριπτοι ῥήτορες· ἀνέξομαι γάρ σε ὀλίγα λέγοντα
the damnable orators I-will-bear for you few-things saying
διὰ τὸν Ἑρμῆν τουτονί.
because-of — Hermes this-here

WEALTH ἐχρῆν μὲν ἴσως καὶ μακρὰ εἰπεῖν πρὸς οὕτω 38
it-was-needful indeed perhaps also long-things to-say against so
πολλὰ ὑπὸ σοῦ κατηγορηθέντα· ὅμως δὲ ὅρα εἴ τί
many-things by you charged nevertheless but see if in-anything
σε, ὡς φής, ἠδίκηκα, ὃς τῶν μὲν ἡδίστων ἁπάντων αἴτιός
you as you-say I-have-wronged who of-the indeed sweetest all cause
σοι κατέστην, τιμῆς καὶ προεδρίας καὶ στεφάνων καὶ τῆς
to-you was-made of-honor and front-seats and crowns and the
ἄλλης τρυφῆς, περίβλεπτός τε καὶ ἀοίδιμος δι' ἐμὲ ἦσθα
other luxury admired both and celebrated because-of me you-were

καὶ περισπούδαστος· εἰ δέ τι χαλεπὸν ἐκ τῶν κολάκων
and much-courted if and anything hard from the flatterers
πέπονθας, ἀναίτιος ἐγώ σοι· μᾶλλον δὲ αὐτὸς ἠδίκημαι
you-have-suffered not-responsible I to-you rather but myself have-been-wronged
τοῦτο ὑπὸ σοῦ, διότι με οὕτως ἀτίμως ὑπέβαλες ἀνδράσι
this by you because me so dishonorably you-threw-under to-men
καταράτοις ἐπαινοῦσι καὶ καταγοητεύουσι καὶ πάντα
accursed praising and bewitching and every
τρόπον ἐπιβουλεύουσί μοι· καὶ τό γε τελευταῖον ἔφησθα,
way plotting-against me and the at-least last you-said
ὡς προδέδωκά σε, τοὐναντίον δ' ἂν αὐτὸς ἐγκαλέσαιμί σοι
that I-have-betrayed you the-opposite but — myself would-charge you
πάντα τρόπον ἀπελαθεὶς ὑπὸ σοῦ καὶ ἐπὶ κεφαλὴν ἐξωσθεὶς
every way driven-off by you and on head thrust-out
τῆς οἰκίας. τοιγαροῦν ἀντὶ μαλακῆς χλανίδος ταύτην
from-the house therefore instead-of soft cloak this
τὴν διφθέραν ἡ τιμιωτάτη σοι Πενία περιτέθεικεν. ὥστε
the leather-jacket the most-honored to-you Poverty has-put-around so-that
μάρτυς ὁ Ἑρμῆς οὑτοσί, πῶς ἱκέτευον τὸν Δία μηκέθ'
witness — Hermes this-here how I-begged — Zeus no-longer
ἥκειν παρὰ σὲ οὕτως δυσμενῶς μοι προσενηνεγμένον.
to-come to you so hostilely to-me having-behaved

39 HERMES ἀλλὰ νῦν ὁρᾷς, ὦ Πλοῦτε, οἷος ἤδη γεγένηται;
but now you-see O Wealth what-sort already he-has-become
ὥστε θαρρῶν συνδιάτριβε αὐτῷ· καὶ σὺ μὲν σκάπτε
so-that taking-heart live-with him and you indeed dig
ὡς ἔχεις· σὺ δὲ τὸν θησαυρὸν ὑπάγαγε τῇ δικέλλῃ·
as you-are you and the treasure bring-under the mattock
ὑπακούσεται γὰρ ἐμβοήσαντί σοι.
it-will-obey for having-shouted-at you

TIMON πειστέον, ὦ Ἑρμῆ, καὶ αὖθις πλουτητέον. τί γὰρ ἂν
one-must-obey O Hermes and again one-must-be-rich what for —
καὶ πάθοι τις, ὁπότε οἱ θεοὶ βιάζοιντο; πλὴν ὅρα γε εἰς
also might-suffer one when the gods should-compel except see at-least into
οἷά με πράγματα ἐμβάλλεις τὸν κακοδαίμονα, ὃς ἄχρι
what-sort me troubles you-throw the unlucky who until
νῦν εὐδαιμονέστατα διάγων χρυσὸν ἄφνω τοσοῦτον λήψομαι
now most-happily living gold suddenly so-much I-will-take
οὐδὲν ἀδικήσας καὶ τοσαύτας φροντίδας ἀναδέξομαι.
nothing having-done-wrong and so-many cares I-will-take-on
HERMES ὑπόστηθι, ὦ Τίμων, δι' ἐμέ, καὶ εἰ χαλεπὸν 40
undergo-it O Timon because-of me and if hard
τοῦτο καὶ οὐκ οἰστόν ἐστιν, ὅπως οἱ κόλακες ἐκεῖνοι
this and not bearable is so-that the flatterers those
διαρραγῶσιν ὑπὸ τοῦ φθόνου· ἐγὼ δὲ ὑπὲρ τὴν Αἴτνην
may-burst from the envy I and above the Etna
ἐς τὸν οὐρανὸν ἀναπτήσομαι.
to the heaven will-fly-up
WEALTH ὁ μὲν ἀπελήλυθεν, ὡς δοκεῖ· τεκμαίρομαι γὰρ τῇ
he indeed has-gone-off as it-seems I-judge for by-the
εἰρεσίᾳ τῶν πτερῶν· σὺ δὲ αὐτοῦ περίμενε· ἀναπέμψω
rowing of-the wings you and here wait I-will-send-up
γάρ σοι τὸν Θησαυρὸν ἀπελθών· μᾶλλον δὲ παῖε. σέ
for to-you — Treasure having-gone-off rather but strike you
φημι, Θησαυρὲ χρυσοῦ, ὑπάκουσον Τίμωνι τουτῳΐ καὶ
I-mean Treasure of-gold obey Timon this-here and
παράσχες ἑαυτὸν ἀνελέσθαι. σκάπτε, ὦ Τίμων, βαθείας
offer yourself to-take-up dig O Timon deep
καταφέρων. ἐγὼ δὲ ὑμῖν· ἀποστήσομαι.
bringing-down I and for-you will-stand-aside

41 TIMON ἄγε, ὦ δίκελλα, νῦν μοι ἐπίρρωσον σεαυτὴν καὶ
come O mattock now for-me strengthen yourself and
μὴ κάμῃς ἐκ τοῦ βάθους τὸν Θησαυρὸν ἐς τοὐμφανὲς
do-not tire from the depth — Treasure into the-open
προκαλουμένη. ὦ Ζεῦ τεράστιε καὶ φίλοι Κορύβαντες καὶ
calling-forth O Zeus portentous and dear Corybants and
Ἑρμῆ κερδῷε, πόθεν τοσοῦτον χρυσίον; ἦ που ὄναρ
Hermes god-of-gain from-where so-much gold surely I-suppose a-dream
ταῦτά ἐστι; δέδια γοῦν μὴ ἄνθρακας εὕρω ἀνεγρόμενος·
these-things is I-fear at-least lest coals I-find having-woken
ἀλλὰ μὴν χρυσίον ἐστὶν ἐπίσημον, ὑπέρυθρον, βαρὺ καὶ
but truly gold it-is coined reddish heavy and
τὴν πρόσοψιν ὑπερήδιστον.
the sight most-sweet

ὦ χρυσέ, δεξίωμα κάλλιστον βροτοῖς·
O gold welcome fairest for-mortals

αἰθόμενον γὰρ πῦρ ἅτε διαπρέπεις καὶ νύκτωρ καὶ μεθ'
blazing for fire as you-shine-out both by-night and by
ἡμέραν. ἐλθέ, ὦ φίλτατε καὶ ἐρασμιώτατε. νῦν πείθομαί
day come O dearest and most-lovely now I-am-persuaded
γε καὶ Δία ποτὲ γενέσθαι χρυσόν· τίς γὰρ οὐκ ἂν
at-least also Zeus once to-have-become gold who for not —
παρθένος ἀναπεπταμένοις τοῖς κόλποις ὑπεδέξατο οὕτω
maiden with-spread-open the bosom would-have-received so
καλὸν ἐραστὴν διὰ τοῦ τέγους καταρρέοντα;
fine lover through the roof flowing-down

Timon sets his gold above the wealth of Midas, Croesus, and the Persian king. He will buy the field, build a tower over the treasure for his tomb, and lays down a law for himself: he will live alone, a friend to no one, call himself the Misanthrope, and pity no one. At once men come running, scenting the gold. Gnathonides, who once refused him, offers a new song and is struck. Philiades, who got a farm and a dowry from him and beat him when he was sick, is beaten. Demeas the orator, whose sixteen-talent fine Timon once paid, reads a decree crediting him with Olympic victories, though Timon never went to Olympia, and with valor near Acharnae.

TIMON ὦ Μίδα καὶ Κροῖσε καὶ τὰ ἐν Δελφοῖς ἀναθήματα, 42

O Midas and Croesus and the at Delphi offerings

ὡς οὐδὲν ἄρα ἦτε ὡς πρὸς Τίμωνα καὶ τὸν Τίμωνος

how nothing then you-were as compared-to Timon and the of-Timon

πλοῦτον, ᾧ γε οὐδὲ ὁ βασιλεὺς ὁ Περσῶν ἴσος.

wealth to-which at-least not-even the king the of-Persians equal

ὦ δίκελλα καὶ φιλτάτη διφθέρα, ὑμᾶς μὲν τῷ Πανὶ

O mattock and dearest leather-jacket you indeed — to-Pan

τούτῳ ἀναθεῖναι καλόν· αὐτὸς δὲ ἤδη πᾶσαν πριάμενος

this to-dedicate fine myself but already all having-bought

τὴν ἐσχατιάν, πυργίον οἰκοδομησάμενος ὑπὲρ τοῦ θησαυροῦ

the outskirts little-tower having-built above the treasure

μόνῳ ἐμοὶ ἱκανὸν ἐνδιαιτᾶσθαι, τὸν αὐτὸν καὶ τάφον

for-only me sufficient to-live-in the same also tomb

ἀποθανὼν ἕξειν μοι δοκῶ.

having-died to-be-going-to-have to-me I-seem

"Δεδόχθω δὲ ταῦτα καὶ νενομοθετήσθω πρὸς τὸν

let-it-be-resolved and these-things and let-it-be-enacted for the

ἐπίλοιπον βίον, ἀμιξία πρὸς ἅπαντας καὶ ἀγνωσία καὶ

remaining life aloofness toward all and not-knowing and

ὑπεροψία· φίλος δὲ ἢ ξένος ἢ ἑταῖρος ἢ Ἐλέου βωμὸς

disdain friend and or stranger or comrade or of-Pity altar

ὕθλος πολύς· καὶ τὸ οἰκτεῖραι δακρύοντα ἢ ἐπικουρῆσαι
nonsense much and the to-pity weeping-one or to-help
δεομένῳ παρανομία καὶ κατάλυσις τῶν ἐθῶν· μονήρης
needy-one lawbreaking and dissolution of-the customs solitary
δὲ ἡ δίαιτα καθάπερ τοῖς λύκοις, καὶ φίλος εἷς Τίμων.
and the way-of-life as for-the wolves and friend one Timon
43 οἱ δὲ ἄλλοι πάντες ἐχθροὶ καὶ ἐπίβουλοι· καὶ τὸ
the and others all enemies and plotters and the
προσομιλῆσαί τινι αὐτῶν μίασμα· καὶ ἤν τινα ἴδω μόνον,
to-associate with-any of-them pollution and if anyone I-see only
ἀποφρὰς ἡ ἡμέρα· καὶ ὅλως ἀνδριάντων λιθίνων ἢ χαλκῶν
ill-omened the day and altogether than-statues of-stone or of-bronze
μηδὲν ἡμῖν διαφερέτωσαν· καὶ μήτε κήρυκα δεχώμεθα παρ'
in-nothing to-us let-them-differ and neither herald let-us-receive from
αὐτῶν μήτε σπονδὰς σπενδώμεθα· ἡ ἐρημία δὲ ὅρος ἔστω
them nor truces let-us-pour the solitude and boundary let-be
πρὸς αὐτούς. φυλέται δὲ καὶ φράτορες καὶ δημόται καὶ
toward them tribesmen and and clansmen and demesmen and
ἡ πατρὶς αὐτὴ ψυχρὰ καὶ ἀνωφελῆ ὀνόματα καὶ ἀνοήτων
the fatherland itself cold and useless names and of-foolish
ἀνδρῶν φιλοτιμήματα. πλουτείτω δὲ Τίμων μόνος καὶ
men ambitions let-be-rich and Timon alone and
ὑπερορᾶτω ἁπάντων καὶ τρυφάτω μόνος καθ' ἑαυτὸν
let-him-look-down-on all and let-him-live-luxuriously alone by himself
κολακείας καὶ ἐπαίνων φορτικῶν ἀπηλλαγμένος· καὶ θεοῖς
from-flattery and praises vulgar freed and to-gods
θυέτω καὶ εὐωχείσθω μόνος, ἑαυτῷ γείτων καὶ ὅμορος,
let-him-sacrifice and let-him-feast alone to-himself neighbor and borderer
ἐκσείων τῶν ἄλλων. καὶ ἅπαξ ἑαυτὸν δεξιώσασθαι δεδόχθω,
shaking-off the others and once himself to-greet let-it-be-resolved
ἢν δέῃ ἀποθανεῖν, καὶ αὐτῷ στέφανον ἐπενεγκεῖν.
if it-be-needful to-die and on-himself crown to-put

καὶ ὄνομα μὲν ἔστω ὁ Μισάνθρωπος ἥδιστον, τοῦ τρόπου 44
and name indeed let-be the Misanthrope sweetest of-the character
δὲ γνωρίσματα δυσκολία καὶ τραχύτης καὶ σκαιότης
and marks peevishness and roughness and boorishness
καὶ ὀργὴ καὶ ἀπανθρωπία· εἰ δέ τινα ἴδοιμι ἐν πυρὶ
and anger and inhumanity if and anyone I-should-see in fire
διαφθειρόμενον καὶ κατασβεννύναι ἱκετεύοντα, πίττῃ καὶ
being-destroyed and to-put-it-out begging with-pitch and
ἐλαίῳ κατασβεννύναι· καὶ ἤν τινα τοῦ χειμῶνος ὁ ποταμὸς
oil to-put-it-out and if anyone in-the winter the river
παραφέρῃ, ὁ δὲ τὰς χεῖρας ὀρέγων ἀντιλαβέσθαι δέηται,
carries-past he and the hands stretching-out to-catch-hold should-need
ὠθεῖν καὶ τοῦτον ἐπὶ κεφαλὴν βαπτίζοντα, ὡς μηδὲ
to-push also this-one on head ducking so-that not-even
ἀνακῦψαι δυνηθείη· οὕτω γὰρ ἂν τὴν ἴσην ἀπολάβοιεν.
to-come-up he-could thus for — the equal they-would-receive
εἰσηγήσατο τὸν νόμον Τίμων Ἐχεκρατίδου Κολλυτεύς,
introduced the law Timon son-of-Echecratides of-Collytus
ἐπεψήφισε τῇ ἐκκλησίᾳ Τίμων ὁ αὐτός.”
put-to-the-vote in-the assembly Timon the same
εἶεν, ταῦτα ἡμῖν δεδόχθω καὶ ἀνδρικῶς ἐμμένωμεν
well these-things by-us let-be-resolved and manfully let-us-abide
αὐτοῖς.
by-them
πλὴν ἀλλὰ περὶ πολλοῦ ἂν ἐποιησάμην ἅπασι γνώριμά 45
except but about much — I-would-make to-all known
πως ταῦτα γενέσθαι, διότι ὑπερπλουτῶ· ἀγχόνη γὰρ ἂν τὸ
somehow these-things to-become because I-am-over-rich hanging for — the
πρᾶγμα γένοιτο αὐτοῖς. καίτοι τί τοῦτο; φεῦ τοῦ τάχους.
matter would-be to-them and-yet what this alas for-the speed
πανταχόθεν συνθέουσιν κεκονιμένοι καὶ πνευστιῶντες, οὐκ
from-all-sides they-run-together dusty and panting not

οἶδα ὅθεν ὀσφραινόμενοι τοῦ χρυσίου. πότερον οὖν ἐπὶ
I-know from-where smelling the gold whether then onto
τὸν πάγον τοῦτον ἀναβὰς ἀπελαύνω αὐτοὺς τοῖς λίθοις
the hill this having-gone-up shall-I-drive-off them with-the stones
ἐξ ὑπερδεξίων ἀκροβολιζόμενος, ἢ τό γε τοσοῦτον
from above skirmishing or the at-least so-much
παρανομήσομεν εἰσάπαξ αὐτοῖς ὁμιλήσαντες, ὡς πλέον
shall-we-break-the-law once with-them having-associated so-that more
ἀνιῷντο ὑπερορώμενοι; τοῦτο οἶμαι καὶ ἄμεινον. ὥστε
they-may-be-pained being-disdained this I-think also better so-that
δεχώμεθα ἤδη αὐτοὺς ὑποστάντες. φέρε ἴδω, τίς
let-us-receive now them having-stood-our-ground come let-me-see who
ὁ πρῶτος αὐτῶν οὗτός ἐστι; Γναθωνίδης ὁ κόλαξ, ὁ
the first of-them this is Gnathonides the flatterer the
πρῴην ἔρανον αἰτήσαντί μοι ὀρέξας τὸν βρόχον,
lately contribution having-asked to-me having-held-out the noose
πίθους ὅλους παρ' ἐμοὶ πολλάκις ἐμημεκώς. ἀλλ' εὖ
jars whole at my-house often having-vomited but well
γε ἐποίησεν ἀφικόμενος· οἰμώξεται γὰρ πρὸ τῶν ἄλλων.
at-least he-did having-come he-will-howl for before the others

46 GNATH. οὐκ ἐγὼ ἔλεγον ὡς οὐκ ἀμελήσουσι Τίμωνος ἀγαθοῦ
not I said that not will-neglect Timon good
ἀνδρὸς οἱ θεοί; χαῖρε Τίμων εὐμορφότατε καὶ ἥδιστε καὶ
man the gods hail Timon handsomest and sweetest and
συμποτικώτατε.
most-convivial

TIMON νὴ καὶ σύ γε, ὦ Γναθωνίδη, γυπῶν ἁπάντων
yes and you at-least O Gnathonides of-vultures all
βορώτατε καὶ ἀνθρώπων ἐπιτριπτότατε.
most-voracious and of-men most-damnable

GNATH. ἀεὶ φιλοσκώμμων σύ γε. ἀλλὰ ποῦ τὸ συμπόσιον;
always fond-of-jesting you at-least but where the drinking-party
ὡς καινόν τί σοι ᾄσμα τῶν νεοδιδάκτων διθυράμβων
for new some for-you song of-the newly-taught dithyrambs
ἥκω κομίζων.
I-come bringing

TIMON καὶ μὴν ἐλεγεῖά γε ᾄσῃ μάλα περιπαθῶς ὑπὸ
and truly elegies at-least you-will-sing very feelingly under
ταύτῃ τῇ δικέλλῃ.
this the mattock

GNATH. τί τοῦτο; παίεις, ὦ Τίμων; μαρτύρομαι· ὦ
why this do-you-strike O Timon I-call-to-witness O
Ἡράκλεις, ἰοὺ ἰού, προκαλοῦμαί σε τραύματος εἰς Ἄρειον
Heracles oh oh I-summon you for-wounding to Ares'
πάγον.
hill

TIMON καὶ μὴν ἄν γε μικρὸν ἐπιβραδύνῃς, φόνου τάχα
and truly if at-least little you-delay for-murder soon
προκεκλήσομαι.
I-shall-have-been-summoned

GNATH. μηδαμῶς· ἀλλὰ σύ γε πάντως τὸ τραῦμα ἴασαι
by-no-means but you at-least by-all-means the wound heal
μικρὸν ἐπιπάσας τοῦ χρυσίου· δεινῶς γὰρ ἴσχαιμόν
little having-sprinkled-on of-the gold terribly for blood-stanching
ἐστι τὸ φάρμακον.
is the medicine

TIMON ἔτι γὰρ μένεις;
still for do-you-stay

GNATH. ἄπειμι· σὺ δὲ οὐ χαιρήσεις οὕτω σκαιὸς ἐκ χρηστοῦ
I-go-off you but not will-rejoice so boorish from good
γενόμενος.
having-become

47 TIMON τίς οὗτός ἐστιν ὁ προσιών, ὁ ἀναφαλαντίας; Φιλιάδης,
who this-one is the approaching the bald-headed Philiades
κολάκων ἁπάντων ὁ βδελυρώτατος. οὗτος δὲ ἀγρὸν ὅλον
of-flatterers all the most-loathsome this-one and field whole
παρ᾽ ἐμοῦ λαβὼν καὶ τῇ θυγατρὶ προῖκα δύο τάλαντα,
from me having-taken and for-the daughter dowry two talents
μισθὸν τοῦ ἐπαίνου, ὁπότε ᾄσαντά με πάντων σιωπώντων
wage for-the praise when having-sung me all being-silent
μόνος ὑπερεπήνεσεν ἐπομοσάμενος ᾠδικώτερον εἶναι τῶν
alone over-praised having-sworn more-musical to-be than-the
κύκνων, ἐπειδὴ νοσοῦντα πρώην εἶδέ με καὶ προσῆλθον
swans when sick lately he-saw me and I-approached
ἐπικουρίας δεόμενος, πληγὰς ὁ γενναῖος προσενέτεινεν.
help needing blows the noble-fellow laid-on

48 PHIL. ὦ τῆς ἀναισχυντίας. νῦν Τίμωνα γνωρίζετε; νῦν
oh the shamelessness now Timon do-you-recognize now
Γναθωνίδης φίλος καὶ συμπότης; τοιγαροῦν δίκαια
Gnathonides friend and drinking-companion therefore just-things
πέπονθεν οὕτως ἀχάριστος ὤν. ἡμεῖς δὲ οἱ πάλαι
he-has-suffered so ungrateful being we but the long-since
συνήθεις καὶ συνέφηβοι καὶ δημόται ὅμως μετριάζομεν,
intimates and fellow-youths and demesmen nevertheless are-moderate
ὡς μὴ ἐπιπηδᾶν δοκῶμεν. χαῖρε, ὦ δέσποτα, καὶ ὅπως
that not to-leap-on we-may-seem hail O master and see-that
τοὺς μιαροὺς τούτους κόλακας φυλάξῃ, τοὺς ἐπὶ
the foul these flatterers you-will-guard-against those at
τῆς τραπέζης μόνον, τὰ ἄλλα δὲ κοράκων οὐδὲν
the table only in-the other-things but from-crows in-nothing
διαφέροντας. οὐκέτι πιστευτέα τῶν νῦν οὐδενί· πάντες
differing no-longer to-be-trusted of-those now no-one all
ἀχάριστοι καὶ πονηροί. ἐγὼ δὲ τάλαντόν σοι κομίζων,
ungrateful and wicked I but talent to-you bringing

ὡς ἔχοις πρὸς τὰ κατεπείγοντα χρῆσθαι, καθ' ὁδὸν
that you-might-have for the urgent-things to-use on road
ἤδη πλησίον ἤκουσα, ὡς πλουτοίης ὑπερμεγέθη τινὰ
already near I-heard that you-were-rich over-great some
πλοῦτον. ἥκω τοιγαροῦν ταῦτά σε νουθετήσων· καίτοι σύ
wealth I-come therefore these-things you going-to-advise and-yet you
γε οὕτω σοφὸς ὢν οὐδὲν ἴσως δεήσῃ τῶν παρ' ἐμοῦ
at-least so wise being nothing perhaps will-need of-the from me
λόγων, ὃς καὶ τῷ Νέστορι τὸ δέον παραινέσειας ἄν.
words who even — Nestor the needful would-advise —
TIMON ἔσται ταῦτα, ὦ Φιλιάδη. πλὴν ἀλλὰ πρόσιθι, ὡς
shall-be these-things O Philiades except but come-near that
καὶ σὲ φιλοφρονήσωμαι τῇ δικέλλῃ.
also you I-may-welcome with-the mattock
PHIL. ἄνθρωποι, κατέαγα τοῦ κρανίου ὑπὸ τοῦ ἀχαρίστου,
men I-am-broken in-the skull by the ungrateful-man
διότι τὰ συμφέροντα ἐνουθέτουν αὐτόν.
because the advantageous-things I-advised him
TIMON ἰδοὺ τρίτος οὗτος ὁ ῥήτωρ Δημέας προσέρχεται 49
look third this-one the orator Demeas approaches
ψήφισμα ἔχων ἐν τῇ δεξιᾷ καὶ συγγενὴς ἡμέτερος εἶναι
decree having in the right-hand and kinsman our to-be
λέγων. οὗτος ἑκκαίδεκα παρ' ἐμοῦ τάλαντα μιᾶς ἡμέρας
saying this-one sixteen from me talents in-one day
ἐκτίσας τῇ πόλει — καταδεδίκαστο γὰρ καὶ ἐδέδετο
having-paid to-the city he-had-been-condemned for and had-been-bound
οὐκ ἀποδιδούς, κἀγὼ ἐλεήσας ἐλυσάμην αὐτόν — ἐπειδὴ
not paying and-I having-pitied released him when
πρώην ἔλαχε τῇ Ἐρεχθηΐδι φυλῇ διανέμειν τὸ
lately he-was-allotted for-the Erechtheid tribe to-distribute the

θεωρικὸν κἀγὼ προσῆλθον αἰτῶν τὸ γινόμενον, οὐκ ἔφη
theoric-fund and-I approached asking the share not he-said
γνωρίζειν πολίτην ὄντα με.
to-recognize citizen being me

50 DEMEAS χαῖρε, ὦ Τίμων, τὸ μέγα ὄφελος τοῦ γένους, τὸ
hail O Timon the great benefit of-the race the
ἔρεισμα τῶν Ἀθηνῶν, τὸ πρόβλημα τῆς Ἑλλάδος· καὶ
prop — of-Athens the bulwark — of-Greece and
μὴν πάλαι σε ὁ δῆμος συνειλεγμένος καὶ αἱ βουλαὶ
truly long-since you the people assembled and the councils
ἀμφότεραι περιμένουσι. πρότερον δὲ ἄκουσον τὸ ψήφισμα,
both await first but hear the decree
ὃ ὑπὲρ σοῦ γέγραφα·
which about you I-have-written
"ἐπειδὴ Τίμων Ἐχεκρατίδου Κολλυτεύς, ἀνὴρ οὐ μόνον
whereas Timon son-of-Echecratides of-Collytus man not only
καλὸς κἀγαθός, ἀλλὰ καὶ σοφὸς ὡς οὐκ ἄλλος ἐν τῇ Ἑλλάδι,
fine and-good but also wise as not another in — Greece
παρὰ πάντα χρόνον διατελεῖ τὰ ἄριστα πράττων τῇ
through all time continues the best-things doing for-the
πόλει, νενίκηκε δὲ πὺξ καὶ πάλην καὶ δρόμον ἐν Ὀλυμπίᾳ
city has-won and in-boxing and wrestling and footrace at Olympia
μιᾶς ἡμέρας καὶ τελείῳ ἅρματι καὶ συνωρίδι πωλικῇ—"
in-one day and with-full chariot and pair of-colts
TIMON ἀλλ' οὐδὲ ἐθεώρησα ἐγὼ πώποτε εἰς Ὀλυμπίαν.
but not-even went-as-spectator I ever to Olympia
DEMEAS τί οὖν; θεωρήσεις ὕστερον· τὰ τοιαῦτα
what then you-will-go-as-spectator later the such-things
δὲ πολλὰ προσκεῖσθαι ἄμεινον. "καὶ ἠρίστευσε δὲ
and many to-be-added better and was-bravest and

ὑπὲρ τῆς πόλεως πέρυσι πρὸς Ἀχαρναῖς καὶ κατέκοψε
on-behalf-of the city last-year near Acharnae and cut-down
Πελοποννησίων δύο μόρας—”
of-Peloponnesians two battalions

VII · STONES FOR THE VISITORS

Timon objects that, having no arms, he was never even enrolled in the list; Demeas reads on, voting him a golden statue beside Athena and seven crowns, and names an unborn son Timon, though he is unmarried. Timon strikes him, and when Demeas cries tyranny and charges him with burning the Acropolis, strikes him twice more. Thrasycles the philosopher comes next, a preacher of plain living who gorges at dinner; he urges Timon to throw his wealth into the sea and asks a wallet of gold for needy friends, and Timon fills his head with blows. Then Blepsias, Laches, Gniphon, and the rest come, and Timon climbs a rock to stone them, letting none go without wounds.

TIMON πῶς; διὰ γὰρ τὸ μὴ ἔχειν ὅπλα οὐδὲ προὐγράφην 51
how because-of for the not to-have arms not-even was-I-enrolled
ἐν τῷ καταλόγῳ.
in the list
DEMEAS μέτρια τὰ περὶ σαυτοῦ λέγεις, ἡμεῖς δὲ
modest-things the-things about yourself you-say we but
ἀχάριστοι ἂν εἴημεν ἀμνημονοῦντες. “ἔτι δὲ καὶ
ungrateful — would-be not-remembering further and also
ψηφίσματα γράφων καὶ συμβουλεύων καὶ στρατηγῶν
decrees proposing and advising and being-general
οὐ μικρὰ ὠφέλησε τὴν πόλιν· ἐπὶ τούτοις ἅπασι
not small-things he-benefited the city on these all
δεδόχθω τῇ βουλῇ καὶ τῷ δήμῳ καὶ τῇ Ἡλιαίᾳ
let-it-be-resolved by-the council and the people and the Heliaea
καὶ ταῖς φυλαῖς καὶ τοῖς δήμοις ἰδίᾳ καὶ κοινῇ
and the tribes and the demes privately and in-common

πᾶσι χρυσοῦν ἀναστῆσαι τὸν Τίμωνα παρὰ τὴν
all golden to-set-up — Timon beside —
Ἀθηνᾶν ἐν τῇ ἀκροπόλει κεραυνὸν ἐν τῇ δεξιᾷ
Athena in the acropolis thunderbolt in the right-hand
ἔχοντα καὶ ἀκτῖνας ἐπὶ τῇ κεφαλῇ καὶ στεφανῶσαι
holding and rays on the head and to-crown
αὐτὸν χρυσοῖς στεφάνοις ἑπτὰ καὶ ἀνακηρυχθῆναι τοὺς
him with-golden crowns seven and to-be-proclaimed the
στεφάνους τήμερον Διονυσίοις τραγῳδοῖς καινοῖς —
crowns today at-the-Dionysia at-the-tragedies new
ἀχθῆναι γὰρ δι' αὐτὸν δεῖ τήμερον τὰ
to-be-held for because-of him it-is-needful today the
Διονύσια. εἶπε τὴν γνώμην Δημέας ὁ ῥήτωρ, συγγενὴς
Dionysia proposed the motion Demeas the orator kinsman
αὐτοῦ ἀγχιστεὺς καὶ μαθητὴς ὤν· καὶ γὰρ ῥήτωρ
his next-of-kin and pupil being and for orator
ἄριστος ὁ Τίμων καὶ τὰ ἄλλα πάντα ὁπόσα ἂν
best — Timon and the other-things all as-many-as —
ἐθέλῃ."
he-may-wish

52 τουτὶ μὲν οὖν σοι τὸ ψήφισμα. ἐγὼ δὲ καὶ τὸν υἱὸν
this indeed then for-you the decree I and also the son
ἐβουλόμην ἀγαγεῖν παρὰ σέ, ὃν ἐπὶ τῷ σῷ ὀνόματι
wished to-bring to you whom for the your name
Τίμωνα ὠνόμακα.
Timon I-have-named

TIMON πῶς, ὦ Δημέα, ὃς οὐδὲ γεγάμηκας, ὅσα γε
how O Demeas who not-even have-married so-much at-least
καὶ ἡμᾶς εἰδέναι;
also us to-know

DEMEAS ἀλλὰ γαμῶ, ἢν διδῷ θεός, ἐς νέωτα καὶ
but I-will-marry if grants god in next-year and
παιδοποιήσομαι καὶ τὸ γεννηθησόμενον — ἄρρεν γὰρ
I-will-beget-children and the going-to-be-born male for
ἔσται — Τίμωνα ἤδη καλῶ.
it-will-be Timon already I-call
TIMON οὐκ οἶδα εἰ γαμησείεις ἔτι, ὦ οὗτος, τηλικαύτην
not I-know if you-would-want-to-marry still O you so-great
παρ᾽ ἐμοῦ πληγὴν λαμβάνων.
from me blow receiving
DEMEAS οἴμοι· τί τοῦτο; τυραννίδι Τίμων ἐπιχειρεῖς
alas what this at-tyranny Timon you-aim
καὶ τύπτεις τοὺς ἐλευθέρους οὐ καθαρῶς ἐλεύθερος
and strike the free not purely free
οὐδ᾽ αὐτὸς ὤν; ἀλλὰ δώσεις ἐν τάχει τὴν
not-even yourself being but you-will-pay in speed the
δίκην τά τε ἄλλα καὶ ὅτι τὴν ἀκρόπολιν
penalty the both other-things and that the acropolis
ἐνέπρησας.
you-burned
TIMON ἀλλ᾽ οὐκ ἐμπέπρησται, ὦ μιαρέ, ἡ ἀκρόπολις· ὥστε 53
but not has-been-burned O foul-one the acropolis so-that
δῆλος εἶ συκοφαντῶν.
plain you-are being-a-false-accuser
DEMEAS ἀλλὰ καὶ πλουτεῖς τὸν ὀπισθόδομον διορύξας.
but also you-are-rich the back-chamber having-broken-into
TIMON οὐ διώρυκται οὐδὲ οὗτος, ὥστε ἀπίθανά σου
not has-been-broken-into not-even this so-that unconvincing your
καὶ ταῦτα.
also these-things

DEMEAS διορυχθήσεται μὲν ὕστερον· ἤδη δὲ σὺ πάντα
will-be-broken-into indeed later already but you all
τὰ ἐν αὐτῷ ἔχεις.
the-things in it have
TIMON οὐκοῦν καὶ ἄλλην λάμβανε.
then also another take
DEMEAS οἴμοι τὸ μετάφρενον.
alas the back
TIMON μὴ κέκραχθι· κατοίσω γάρ σοι καὶ
do-not shout I-will-bring-down for on-you also
τρίτην· ἐπεὶ καὶ γελοῖα πάμπαν ἂν πάθοιμι
a-third since also ridiculous-things utterly — I-would-suffer
δύο μὲν Λακεδαιμονίων μόρας κατακόψας ἄνοπλος,
two indeed of-Lacedaemonians battalions having-cut-down unarmed
ἓν δὲ μιαρὸν ἀνθρώπιον μὴ ἐπιτρίψας· μάτην
one but foul manikin not having-crushed in-vain
γὰρ ἂν εἴην καὶ νενικηκὼς Ὀλύμπια πὺξ καὶ
for — I-would-be also having-won at-Olympia in-boxing and
πάλην.
wrestling
54 ἀλλὰ τί τοῦτο; οὐ Θρασυκλῆς ὁ φιλόσοφος
but what this not Thrasycles the philosopher
οὗτός ἐστιν; οὐ μὲν οὖν ἄλλος· ἐκπετάσας
this is not indeed then another having-spread-out
γοῦν τὸν πώγωνα καὶ τὰς ὀφρῦς ἀνατείνας καὶ
at-least the beard and the eyebrows having-raised and
βρενθυόμενός τι πρὸς αὑτὸν ἔρχεται, τιτανῶδες
swaggering something to himself he-comes Titan-like
βλέπων, ἀνασεσοβημένος τὴν ἐπὶ τῷ μετώπῳ κόμην,
looking having-tossed-up the on the forehead hair
Αὐτοβορέας τις ἢ Τρίτων, οἵους ὁ Ζεῦξις ἔγραψεν.
Boreas-himself some or Triton such-as — Zeuxis painted

οὗτος ὁ τὸ σχῆμα εὐσταλὴς καὶ κόσμιος τὸ
this-one the in-the bearing neat and orderly in-the
βάδισμα καὶ σωφρονικὸς τὴν ἀναβολὴν ἕωθεν
gait and modest in-the cloak from-dawn
μυρία ὅσα περὶ ἀρετῆς διεξιὼν καὶ τῶν ἡδονῇ
countless as-many-as about virtue going-through and those in-pleasure
χαιρόντων κατηγορῶν καὶ τὸ ὀλιγαρκὲς ἐπαινῶν,
rejoicing accusing and the contentment praising
ἐπειδὴ λουσάμενος ἀφίκοιτο ἐπὶ τὸ δεῖπνον καὶ
when having-bathed he-would-arrive at the dinner and
ὁ παῖς μεγάλην τὴν κύλικα ὀρέξειεν αὐτῷ —
the slave large the cup should-hold-out to-him
τῷ ζωροτέρῳ δὲ χαίρει μάλιστα — καθάπερ τὸ
in-the purer and he-rejoices most as-if the
Λήθης ὕδωρ ἐκπιὼν ἐναντιώτατα ἐπιδείκνυται
of-Lethe water having-drunk-off most-contrary-things he-displays
τοῖς ἑωθινοῖς ἐκείνοις λόγοις, προαρπάζων ὥσπερ
to-the morning those words snatching-first like
ἴκτινος τὰ ὄψα καὶ τὸν πλησίον παραγκωνιζόμενος,
kite the dainties and the neighbor elbowing-aside
καρύκης τὸ γένειον ἀνάπλεως, κυνηδὸν ἐμφορούμενος,
with-sauce the beard full like-a-dog stuffing-himself
ἐπικεκυφὼς καθάπερ ἐν ταῖς λοπάσι τὴν ἀρετὴν
stooping-over as-if in the dishes the virtue
εὑρήσειν προσδοκῶν, ἀκριβῶς τὰ τρύβλια τῷ
to-be-going-to-find expecting exactly the bowls with-the
λιχανῷ ἀποσμήχων ὡς μηδὲ ὀλίγον τοῦ μυττωτοῦ
forefinger wiping-out so-that not-even little of-the garlic-paste
καταλίποι,
he-may-leave

55 μεμψίμοιρος ἀεί, κἂν τὸν πλακοῦντα ὅλον ἢ τὸν σῦν
fault-finding always even-if the cake whole or the pig
μόνος τῶν ἄλλων λάβῃ, ὅ τι περ λιχνείας καὶ
alone of-the others he-takes what ever indeed of-gluttony and
ἀπληστίας ὄφελος, μέθυσος καὶ πάροινος οὐκ ἄχρι
greed best-part drunkard and drunken-brawler not as-far-as
ᾠδῆς καὶ ὀρχηστύος μόνον, ἀλλὰ καὶ λοιδορίας καὶ
song and dancing only but also abuse and
ὀργῆς. προσέτι καὶ λόγοι πολλοὶ ἐπὶ τῇ κύλικι, τότε
anger besides and words many over the cup then
δὴ καὶ μάλιστα, περὶ σωφροσύνης καὶ κοσμιότητος·
indeed and most about temperance and decorum
καὶ ταῦτά φησιν ἤδη ὑπὸ τοῦ ἀκράτου πονήρως
and these-things he-says already from the unmixed-wine badly
ἔχων καὶ ὑποτραυλίζων γελοίως· εἶτα ἔμετος ἐπὶ
being and lisping ridiculously then vomiting after
τούτοις· καὶ τὸ τελευταῖον, ἀράμενοί τινες ἐκφέρουσιν
these-things and the last having-lifted some carry-out
αὐτὸν ἐκ τοῦ συμποσίου τῆς αὐλητρίδος ἀμφοτέραις
him from the drinking-party of-the flute-girl with-both-hands
ἐπειλημμένον. πλὴν ἀλλὰ καὶ νήφων οὐδενὶ τῶν
having-taken-hold except but also sober to-no-one of-the
πρωτείων παραχωρήσειεν ἂν ψεύσματος ἕνεκα
first-places would-yield — of-lying for-the-sake-of
ἢ θρασύτητος ἢ φιλαργυρίας· ἀλλὰ καὶ κολάκων
or of-boldness or of-avarice but also of-flatterers
ἐστὶ τὰ πρῶτα καὶ ἐπιορκεῖ προχειρότατα, καὶ ἡ
he-is the first and perjures most-readily and the
γοητεία προηγεῖται καὶ ἡ ἀναισχυντία παρομαρτεῖ, καὶ
imposture leads-the-way and the shamelessness attends and
ὅλως πάνσοφόν τι χρῆμα καὶ πανταχόθεν ἀκριβὲς
altogether all-wise some thing and on-all-sides exact

καὶ ποικίλως ἐντελές. οἰμώξεται τοιγαροῦν οὐκ εἰς
and variously complete he-will-howl therefore not to
μακρὰν χρηστὸς ὤν. τί τοῦτο; παπαί, χρόνιος ἡμῖν
long good being what this good-heavens late to-us
Θρασυκλῆς.
Thrasycles

THRAS. οὐ κατὰ ταὐτά, ὦ Τίμων, τοῖς πολλοῖς 56
not in the-same-way O Timon as-the many
τούτοις ἀφῖγμαι, οἵπερ τὸν πλοῦτόν σου τεθηπότες
these have-I-come who the wealth your gaping-at
ἀργυρίου καὶ χρυσίου καὶ δείπνων πολυτελῶν ἐλπίδι
of-silver and gold and dinners costly in-hope
συνδεδραμήκασι, πολλὴν τὴν κολακείαν ἐπιδειξόμενοι πρὸς
have-run-together much the flattery going-to-display toward
ἄνδρα οἷον σὲ ἁπλοϊκὸν καὶ τῶν ὄντων κοινωνικόν·
man such-as you simple and of-the possessions sharing
οἶσθα γὰρ ὡς μᾶζα μὲν ἐμοὶ δεῖπνον ἱκανόν, ὄψον
you-know for that barley-cake indeed for-me dinner sufficient relish
δὲ ἥδιστον θύμον ἢ κάρδαμον ἢ εἴ ποτε τρυφῴην,
and sweetest thyme or cress or if ever I-should-be-luxurious
ὀλίγον τῶν ἁλῶν· ποτὸν δὲ ἡ ἐννεάκρουνος· ὁ δὲ
little of-the salt drink and the Enneacrunus the and
τρίβων οὗτος ἧς βούλει πορφυρίδος ἀμείνων.
threadbare-cloak this than-what you-wish purple better
τὸ χρυσίον μὲν γὰρ οὐδὲν τιμιώτερον τῶν ἐν τοῖς
the gold indeed for nothing more-precious than-the on the
αἰγιαλοῖς ψηφίδων μοι δοκεῖ. σοῦ δὲ αὐτοῦ χάριν
beaches pebbles to-me seems your and own sake
ἐστάλην, ὡς μὴ διαφθείρῃ σε τὸ κάκιστον τοῦτο
I-was-sent that not may-corrupt you the worst this
καὶ ἐπιβουλότατον κτῆμα ὁ πλοῦτος, ὁ πολλοῖς
and most-treacherous possession the wealth the(-one) to-many

πολλάκις αἴτιος ἀνηκέστων συμφορῶν γεγενημένος·
often cause of-incurable misfortunes having-been
εἰ γάρ μοι πείθοιο, μάλιστα μὲν ὅλον ἐς τὴν
if for me you-should-obey most indeed whole into the
θάλατταν ἐμβαλεῖς αὐτὸν οὐδὲν ἀναγκαῖον ἀνδρὶ ἀγαθῷ
sea you-will-throw it in-no-way necessary for-man good
ὄντα καὶ τὸν φιλοσοφίας πλοῦτον ὁρᾶν δυναμένῳ· μὴ
being and the of-philosophy wealth to-see able not
μέντοι ἐς βάθος, ὦγαθέ, ἀλλ' ὅσον ἐς βουβῶνας
however into depth my-good-man but as-far-as to groin
ἐπεμβὰς ὀλίγον πρὸ τῆς κυματωγῆς, ἐμοῦ ὁρῶντος
having-waded little before the surf me seeing
μόνου·
alone

57 εἰ δὲ μὴ τοῦτο βούλει, σὺ δὲ ἄλλον τρόπον
if but not this you-wish you and in-another way
ἀμείνω κατὰ τάχος ἐκφόρησον αὐτὸν ἐκ τῆς
better with speed carry-out it from the
οἰκίας μηδ' ὀβολὸν αὑτῷ ἀνείς, διαδιδοὺς ἅπασι
house not-even obol to-yourself having-left distributing to-all
τοῖς δεομένοις, ᾧ μὲν πέντε δραχμάς, ᾧ
the needy to-one indeed five drachmas to-another
δὲ μνᾶν, ᾧ δὲ ἡμιτάλαντον· εἰ δέ τις
and mina to-another and half-talent if but anyone
φιλόσοφος εἴη, διμοιρίαν ἢ τριμοιρίαν φέρεσθαι
philosopher should-be two-shares or three-shares to-carry-off
δίκαιος· ἐμοὶ δέ — καίτοι οὐκ ἐμαυτοῦ χάριν
just to-me but and-yet not my-own for-the-sake-of
αἰτῶ, ἀλλ' ὅπως μεταδῶ τῶν ἑταίρων τοῖς
I-ask but that I-may-share of-the comrades with-the
δεομένοις — ἱκανὸν εἰ ταυτηνὶ τὴν πήραν ἐμπλήσας
needy sufficient if this-here the wallet having-filled

παράσχοις οὐδὲ ὅλους δύο μεδίμνους χωροῦσαν
you-should-supply not-even whole two medimni holding
Αἰγινητικούς. ὀλιγαρκῆ δὲ καὶ μέτριον χρὴ εἶναι
Aeginetan contented and and moderate it-is-needful to-be
τὸν φιλοσοφοῦντα καὶ μηδὲν ὑπὲρ τὴν πήραν
the(-one) philosophizing and nothing beyond the wallet
φρονεῖν.
to-think

TIMON ἐπαινῶ ταῦτά σου, ὦ Θρασύκλεις· πρὸ
I-praise these-things of-you O Thrasycles before
δ' οὖν τῆς πήρας, εἰ δοκεῖ, φέρε σοι τὴν
and then the wallet if it-seems come for-you the
κεφαλὴν ἐμπλήσω κονδύλων ἐπιμετρήσας τῇ
head I-will-fill with-knuckle-blows measuring-out with-the
δικέλλῃ.
mattock

THRAS. ὦ δημοκρατία καὶ νόμοι, παιόμεθα ὑπὸ τοῦ
O democracy and laws we-are-struck by the
καταράτου ἐν ἐλευθέρᾳ τῇ πόλει.
accursed-man in free the city

TIMON τί ἀγανακτεῖς, ὦγαθέ; μῶν παρακέκρουσμαί
why are-you-indignant my-good-man surely-not I-have-cheated
σε; καὶ μὴν ἐπεμβαλῶ χοίνικας ὑπὲρ τὸ μέτρον
you and truly I-will-throw-in quarts beyond the measure
τέτταρας.
four

ἀλλὰ τί τοῦτο; πολλοὶ συνέρχονται· Βλεψίας 58
but what this many come-together Blepsias
ἐκεῖνος καὶ Λάχης καὶ Γνίφων καὶ ὅλον τὸ
that and Laches and Gniphon and whole the
σύνταγμα τῶν οἰμωξομένων. ὥστε τί οὐκ ἐπὶ
company of-those going-to-howl so-that why not onto

τὴν πέτραν ταύτην ἀνελθὼν τὴν μὲν δίκελλαν
the rock this having-gone-up the indeed mattock
ὀλίγον ἀναπαύω πάλαι πεπονηκυῖαν, αὐτὸς δὲ ὅτι
little do-I-rest long-since having-toiled myself but as
πλείστους λίθους συμφορήσας ἐπιχαλαζῶ πόρρωθεν
most stones having-gathered do-I-hail-on from-afar
αὐτούς;
them

BLEPSIAS μὴ βάλλε, ὦ Τίμων· ἄπιμεν γάρ.
do-not throw O Timon we-are-going-off for

TIMON ἀλλ' οὐκ ἀναιμωτί γε ὑμεῖς οὐδὲ ἄνευ
but not without-blood at-least you nor without
τραυμάτων.
wounds

LUCIAN

ΟΝΕΙΡΟΣ Η ΑΛΕΚΤΡΥΩΝ

The Cock

I · THE COCK SPEAKS

Micyllus the cobbler curses his cock for crowing him awake from a dream of wealth. The cock answers in a human voice and offers to tell why he can speak if Micyllus keeps it secret. Micyllus recalls the tale of the youth Alectryon, whom Ares set at the door while he lay with Aphrodite; Alectryon fell asleep, Helios saw them and told Hephaestus, and Ares changed him into a cock. The cock says his own case is different: he is Pythagoras of Samos, son of Mnesarchus. Micyllus objects that Pythagoras forbade meat and beans and enjoined silence, while this cock is noisy and ate beans yesterday, so that he either lies or has broken his own law.

MICYLLUS ἀλλὰ σέ, κάκιστε ἀλεκτρυών, ὁ Ζεὺς αὐτὸς 1
but you vilest cock — Zeus himself
ἐπιτρίψειε φθονερὸν οὕτω καὶ ὀξύφωνον ὄντα, ὅς με
may-crush envious so and shrill-voiced being who me
πλουτοῦντα καὶ ἡδίστῳ ὀνείρῳ συνόντα καὶ θαυμαστὴν
being-rich and with-sweetest dream being-with and wondrous
εὐδαιμονίαν εὐδαιμονοῦντα διάτορόν τι καὶ γεγωνὸς
happiness enjoying piercing something and loud
ἀναβοήσας ἐπήγειρας, ὡς μηδὲ νύκτωρ γοῦν τὴν πολὺ
having-crowed woke-up so-that not-even by-night at-least the much
σοῦ μιαρωτέραν πενίαν διαφύγοιμι. καίτοι εἴ γε χρὴ
than-you fouler poverty I-might-escape and-yet if at-least it-is-needful
τεκμαίρεσθαι τῇ τε ἡσυχίᾳ πολλῇ ἔτι οὔσῃ καὶ τῷ κρύει
to-judge by-the both stillness much still being and by-the cold
μηδέπω με τὸ ὄρθριον ὥσπερ εἴωθεν ἀποπηγνύντι — γνώμων
not-yet me the dawn as it-is-wont freezing gauge
γὰρ οὗτος ἀψευδέστατός μοι προσελαυνούσης ἡμέρας —
for this most-unerring to-me of-approaching day
οὐδέπω μέσαι νύκτες εἰσίν, ὁ δὲ ἄϋπνος οὗτος ὥσπερ τὸ
not-yet middle nights are the but sleepless this-one as-if the
χρυσοῦν ἐκεῖνο κώδιον φυλάττων ἀφ' ἑσπέρας εὐθὺς ἤδη
golden that fleece guarding from evening straightway already

κέκραγεν, ἀλλ' οὔτι χαίρων γε· ἀμυνοῦμαι γὰρ ἀμέλει
has-crowed but not-at-all rejoicing at-least I-will-punish for certainly
σε, ἢν μόνον ἡμέρα γένηται, συντρίβων τῇ βακτηρίᾳ·
you if only day comes crushing with-the stick
νῦν δέ μοι πράγματα παρέξεις μεταπηδῶν ἐν τῷ σκότῳ.
now but to-me troubles you-will-give hopping-about in the dark

COCK Μίκυλλε δέσποτα, ᾤμην τι χαριεῖσθαί σοι
Micyllus master I-thought something to-be-going-to-do-a-favor to-you
φθάνων τῆς νυκτὸς ὁπόσον δυναίμην, ὡς ἔχοις
anticipating of-the night as-much-as I-could that you-might-be-able
ὀρθρευόμενος προανύειν τὰ πολλὰ τῶν ἔργων· εἰ γοῦν
rising-early to-finish-first the most of-the work if at-least
πρὶν ἀνατεῖλαι ἥλιον μίαν κρηπῖδα ἐξεργάσαιο, πρὸ
before to-rise sun one shoe you-should-work-out ahead
ὁδοῦ ἔσῃ τοῦτο ἐς τὰ ἄλφιτα πεπονηκώς. εἰ
on-the-way you-will-be this toward the barley-meal having-labored if
δέ σοι καθεύδειν ἥδιον, ἐγὼ μὲν ἡσυχάσομαί σοι καὶ
but to-you to-sleep sweeter I indeed will-keep-quiet for-you and
πολὺ ἀφωνότερος ἔσομαι τῶν ἰχθύων, σὺ δὲ ὅρα ὅπως
much more-voiceless will-be than-the fish you but see that
μὴ ὄναρ πλουτῶν λιμώττῃς ἀνεγρόμενος.
not in-a-dream being-rich you-go-hungry having-woken

2 MICYLLUS ὦ Ζεῦ τεράστιε καὶ Ἡράκλεις ἀλεξίκακε, τί τὸ
O Zeus portentous and Heracles averter-of-evil what the
κακὸν τοῦτό ἐστιν; ἀνθρωπίνως ἐλάλησεν ὁ ἀλεκτρυών.
evil this is humanly spoke the cock

COCK εἶτά σοι τέρας εἶναι δοκεῖ τὸ τοιοῦτον, εἰ ὁμόφωνος
then to-you portent to-be seems the such-thing if same-voiced
ὑμῖν εἰμι;
with-you I-am

MICYLLUS πῶς γὰρ οὐ τέρας; ἀλλ᾽ ἀποτρέποιτε, ὦ θεοί, τὸ
how for not portent but may-you-turn-away O gods the
δεινὸν ἀφ᾽ ἡμῶν.
terrible-thing from us
COCK σύ μοι δοκεῖς, ὦ Μίκυλλε, κομιδῇ ἀπαίδευτος
you to-me seem O Micyllus utterly uneducated
εἶναι μηδὲ ἀνεγνωκέναι τὰ Ὁμήρου ποιήματα, ἐν οἷς
to-be and-not to-have-read the of-Homer poems in which
καὶ ὁ τοῦ Ἀχιλλέως ἵππος ὁ Ξάνθος μακρὰ χαίρειν
also the — of-Achilles horse — Xanthus long to-rejoice
φράσας τῷ χρεμετίζειν ἕστηκεν ἐν μέσῳ τῷ πολέμῳ
having-told to-the neighing stands in middle of-the war
διαλεγόμενος, ἔπη ὅλα ῥαψῳδῶν, οὐχ ὥσπερ ἐγὼ νῦν
conversing verses whole reciting not as I now
ἄνευ τῶν μέτρων. ἀλλὰ καὶ ἐμαντεύετο ἐκεῖνος καὶ τὰ
without the meters but also prophesied that-one and the-things
μέλλοντα προεθέσπιζε καὶ οὐδέν τι παράδοξον ἐδόκει
about-to-be foretold and nothing at-all strange seemed
ποιεῖν, οὐδὲ ὁ ἀκούων ἐπεκαλεῖτο ὥσπερ σὺ τὸν
to-do nor the(-one) hearing invoked as you the
ἀλεξίκακον, ἀποτρόπαιον ἡγούμενος τὸ ἄκουσμα. καίτοι
averter-of-evil ill-omened thinking the thing-heard and-yet
τί ἂν ἐποίησας, εἴ σοι ἡ τῆς Ἀργοῦς τρόπις
what — would-you-have-done if to-you the of-the Argo keel
ἐλάλησεν ὥσπερ ποτέ, ἢ ἡ φηγὸς ἐν Δωδώνῃ αὐτόφωνος
spoke as once or the oak in Dodona with-its-own-voice
ἐμαντεύσατο, ἢ εἰ βύρσας εἶδες ἑρπούσας καὶ βοῶν κρέα
prophesied or if hides you-saw creeping and of-oxen meat
μυκώμενα ἡμίοπτα περιπεπαρμένα τοῖς ὀβελοῖς; ἐγὼ δὲ
lowing half-roasted spitted on-the spits I but
Ἑρμοῦ πάρεδρος ὢν λαλιστάτου καὶ λογιωτάτου θεῶν
of-Hermes assessor being most-talkative and most-eloquent of-gods

ἁπάντων καὶ τὰ ἄλλα ὁμοδίαιτος ὑμῖν καὶ σύντροφος
all and the other-things sharing-life with-you and fellow-nursling
οὐ χαλεπῶς ἔμελλον ἐκμαθήσεσθαι τὴν ἀνθρωπίνην φωνήν.
not hardly I-was-going to-be-going-to-learn the human voice
εἰ δὲ ἐχεμυθήσειν ὑπόσχοιό μοι, οὐκ ἂν ὀκνήσαιμί
if but to-be-going-to-keep-silent you-should-promise me not — I-would-hesitate
σοι τὴν ἀληθεστέραν αἰτίαν εἰπεῖν τῆς πρὸς ὑμᾶς
to-you the truer cause to-tell of-the toward you
ὁμοφωνίας καὶ ὅθεν ὑπάρχει μοι οὕτω λαλεῖν.
same-voicedness and whence it-belongs to-me so to-talk

3 MICYLLUS ἀλλὰ μὴ ὄνειρος καὶ ταῦτά ἐστιν, ἀλεκτρυὼν
but not dream also these-things is cock
οὕτω πρὸς ἐμὲ διαλεγόμενος; εἰπὲ δ' οὖν πρὸς τοῦ
so to me conversing tell but then by —
Ἑρμοῦ, ὦ βέλτιστε, ὅ τι καὶ ἄλλο σοι τῆς φωνῆς
Hermes O best-one what ever also other for-you of-the voice
αἴτιον. ὡς δὲ σιωπήσομαι καὶ πρὸς οὐδένα ἐρῶ, τί
cause that and I-will-keep-silent and to no-one I-will-tell why
σε χρὴ δεδιέναι; τίς γὰρ ἂν πιστεύσειέ μοι, εἴ τι
you it-is-needful to-fear who for — would-believe me if anything
διηγοίμην ὡς ἀλεκτρυόνος αὐτὸ εἰπόντος ἀκηκοώς;
I-should-relate as from-a-cock it having-spoken having-heard

COCK ἄκουε τοίνυν παραδοξότατόν σοι εὖ οἶδ' ὅτι λόγον,
hear then most-incredible to-you well I-know that account
ὦ Μίκυλλε· οὑτοσὶ γὰρ ὁ νῦν σοι ἀλεκτρυὼν φαινόμενος
O Micyllus this-here for the now to-you cock appearing
οὐ πρὸ πολλοῦ ἄνθρωπος ἦν.
not before long man was

MICYLLUS ἤκουσά τι καὶ πάλαι τοιοῦτον ἀμέλει περὶ
I-heard something also long-ago such certainly about
ὑμῶν ὡς Ἀλεκτρυών τις νεανίσκος φίλος γένοιτο τῷ Ἄρει
you that Alectryon some youth friend became — to-Ares

καὶ συμπίνοι τῷ θεῷ καὶ συγκωμάζοι καὶ κοινωνοίη
and drank-together with-the god and reveled-together and shared
τῶν ἐρωτικῶν· εἴποτε γοῦν ἀπίοι παρὰ τὴν Ἀφροδίτην
in-the love-affairs whenever at-least he-went-off to — Aphrodite
μοιχεύσων ὁ Ἄρης, ἐπάγεσθαι καὶ τὸν Ἀλεκτρυόνα,
going-to-commit-adultery — Ares to-bring-along also — Alectryon
καὶ ἐπειδήπερ τὸν Ἥλιον μάλιστα ὑφεωρᾶτο, μὴ κατιδὼν
and since — Helios most he-suspected lest having-seen-them
ἐξείποι πρὸς τὸν Ἥφαιστον, ἔξω πρὸς ταῖς θύραις
he-should-tell to — Hephaestus outside by the doors
ἀπολείπειν ἀεὶ τὸν νεανίσκον μηνύσοντα ὁπότε ἀνίσχοι
to-leave always the youth going-to-report when should-rise
ὁ Ἥλιος. εἶτά ποτε κατακοιμηθῆναι τὸν Ἀλεκτρυόνα
— Helios then once to-have-fallen-asleep — Alectryon
καὶ προδοῦναι τὴν φρουρὰν ἄκοντα, τὸν δὲ Ἥλιον
and to-have-betrayed the watch unwilling — and Helios
λαθόντα ἐπιστῆναι τῇ Ἀφροδίτῃ καὶ τῷ Ἄρει ἀφρόντιδι
unnoticed to-have-come-upon — Aphrodite and — Ares carefree
ἀναπαυομένῳ διὰ τὸ πιστεύειν τὸν Ἀλεκτρυόνα μηνῦσαι
resting because-of the to-trust — Alectryon to-report
ἄν, εἴ τις ἐπίοι· καὶ οὕτω τὸν Ἥφαιστον παρ᾽ Ἡλίου
— if anyone should-approach and so — Hephaestus from Helios
μαθόντα συλλαβεῖν αὐτοὺς περιβαλόντα καὶ σαγηνεύσαντα
having-learned to-have-caught them having-thrown-round and having-netted
τοῖς δεσμοῖς ἃ πάλαι μεμηχάνητο ἐπ᾽ αὐτούς·
with-the bonds which long-ago had-been-contrived against them
ἀφεθέντα δὲ ὡς ἀφείθη τὸν Ἄρη ἀγανακτῆσαι
having-been-released and when he-was-released — Ares to-have-been-indignant
κατὰ τοῦ Ἀλεκτρυόνος καὶ μεταβαλεῖν αὐτὸν εἰς τουτὶ τὸ
against — Alectryon and to-have-changed him into this-here the
and long to-howl telling to-the medical courses
οἱ δὲ ὑπ᾽ ἀκρασίας ἄθλιοι τί τῶν κακῶν οὐκ ἔχουσι,
they but from intemperance wretched what of-the evils not have
ποδάγρας καὶ φθόας καὶ περιπλευμονίας καὶ ὑδέρους;
gouts and consumptions and pneumonias and dropsies
αὗται γὰρ τῶν πολυτελῶν ἐκείνων δείπνων ἀπόγονοι.
these for of-the costly those dinners offspring
τοιγαροῦν οἱ μὲν αὐτῶν ὥσπερ ὁ Ἴκαρος ἐπὶ πολὺ
therefore the(-ones) indeed of-them like — Icarus to much
ἄραντες αὑτοὺς καὶ πλησιάσαντες τῷ ἡλίῳ οὐκ εἰδότες
having-raised themselves and having-approached the sun not knowing
ὅτι κηρῷ ἥρμοστο αὐτοῖς ἡ πτέρωσις, μέγαν ἐνίοτε τὸν
that with-wax was-fitted for-them the plumage great sometimes the
πάταγον ἐποίησαν ἐπὶ κεφαλὴν ἐς πέλαγος ἐμπεσόντες·
crash made on head into sea having-fallen
ὅσοι δὲ κατὰ τὸν Δαίδαλον μὴ πάνυ μετέωρα μηδὲ
as-many-as but according-to — Daedalus not very lofty-things nor
ὑψηλὰ ἐφρόνησαν ἀλλὰ πρόσγεια, ὡς νοτίζεσθαι ἐνίοτε
high thought but near-the-earth so-that to-be-moistened sometimes
τῇ ἅλμῃ τὸν κηρόν, ὡς τὸ πολὺ οὗτοι ἀσφαλῶς διέπτησαν.
with-the brine the wax as the most these safely flew-across
MICYLLUS ἐπιεικεῖς τινας καὶ συνετοὺς λέγεις.
reasonable some and sensible-men you-mean
COCK τῶν μέντοι γε ἄλλων, ὦ Μίκυλλε, τὰς ναυαγίας
of-the however at-least others O Micyllus the shipwrecks
αἰσχρὰς ἴδοις ἄν, ὅταν ὁ Κροῖσος περιτετιλμένος τὰ
shameful you-would-see — when — Croesus plucked-bare the
πτερὰ γέλωτα παρέχῃ Πέρσαις ἀναβαίνων ἐπὶ τὴν πυρὰν
feathers laughter affords to-Persians mounting onto the pyre

ἢ Διονύσιος καταλυθεὶς τῆς τυραννίδος ἐν Κορίνθῳ
or Dionysius deposed from-the tyranny in Corinth
γραμματιστὴς βλέπηται, μετὰ τηλικαύτην ἀρχὴν παιδία
schoolmaster is-seen after so-great rule children
συλλαβίζειν διδάσκων.
to-spell teaching

VI · THE MISERIES OF KINGS

Micyllus asks about the cock's reign. He describes it: like a colossus by Phidias, a king is splendid outside and full of bars and pitch within, and he lives among fears, plots, and sleepless cares, vexed by a mute son, a general hiring mercenaries, a rival praised, and bodyguards whispering, and must suspect his dearest most; the cock himself died of poison by his son. Micyllus would rather cut leather, and likens kings to tragic actors who fall on stage and show their rags. Of the animals' lives the cock says each, measured by its natural wants alone, was less troubled than the human: no horse is a tax collector, no frog an informer, no jackdaw a sophist.

MICYLLUS εἰπέ μοι, ὦ ἀλεκτρυών, σὺ δὲ ὁπότε βασιλεὺς 24
tell me O cock you and when king
ἦσθα — φὴς γὰρ καὶ βασιλεῦσαί ποτε — ποίου τινὸς
you-were you-say for also to-have-been-king once what-sort some
ἐπειράθης ἐκείνου τοῦ βίου; ἢ που πανευδαίμων ἦσθα,
did-you-experience that the life truly I-suppose all-happy were-you
τὸ κεφάλαιον ὅ τι πέρ ἐστι τῶν ἀγαθῶν ἁπάντων ἔχων;
the sum what ever indeed is of-the goods all having
COCK μηδὲ ἀναμνήσῃς με, ὦ Μίκυλλε, οὕτω τρισάθλιος
do-not-even remind me O Micyllus so thrice-wretched
ἦν τότε, τοῖς μὲν ἔξω πᾶσιν ὅπερ ἔφησθα πανευδαίμων
I-was then to-the indeed outside all which-very you-said all-happy
εἶναι δοκῶν, ἔνδοθεν δὲ μυρίαις ἀνίαις συνών.
to-be seeming within but with-countless troubles living

MICYLLUS τίσι ταύταις; παράδοξα γὰρ καὶ οὐ πάνυ τι
with-what these strange-things for and not very at-all
πιστὰ φής.
believable you-say

COCK ἦρχον μὲν οὐκ ὀλίγης χώρας, ὦ Μίκυλλε, παμφόρου
I-ruled indeed not small country O Micyllus all-productive
τινὸς καὶ πλήθει ἀνθρώπων καὶ κάλλει πόλεων ἐν
some and in-multitude of-men and in-beauty of-cities among
ταῖς μάλιστα θαυμάζεσθαι ἀξίας ποταμοῖς τε ναυσιπόροις
the most to-be-admired worthy with-rivers both navigable
καταρρεομένης καὶ θαλάττῃ εὐόρμῳ χρωμένης, καὶ στρατιὰ
flowed-down and sea well-harbored using and army
ἦν πολλὴ καὶ ἵππος συγκεκροτημένη καὶ δορυφορικὸν οὐκ
was large and cavalry well-drilled and bodyguard not
ὀλίγον καὶ τριήρεις καὶ χρημάτων πλῆθος ἀνάριθμον καὶ
small and triremes and of-money multitude countless and
χρυσὸς πάμπολυς καὶ ἡ ἄλλη τῆς ἀρχῆς τραγῳδία πᾶσα
gold very-much and the other of-the rule tragic-pomp all
ἐς ὑπερβολὴν ἐξωγκωμένη, ὥστε ὁπότε προϊοιμι, οἱ μὲν
to excess swollen so-that when I-went-forth the indeed
πολλοὶ προσεκύνουν καὶ θεόν τινα ὁρᾶν ᾤοντο καὶ ἄλλοι
many bowed-down and god some to-see thought and others
ἐπ᾽ ἄλλοις συνέθεον ὀψόμενοί με, οἱ δὲ καὶ ἐπὶ τὰ
upon others ran-together going-to-see me the(-others) and even onto the
τέγη ἀνιόντες ἐν μεγάλῳ ἐτίθεντο ἀκριβῶς ἑωρακέναι τὸ
roofs going-up in great-account held exactly to-have-seen the
ζεῦγος, τὴν ἐφεστρίδα, τὸ διάδημα, τοὺς προπομπεύοντας,
chariot the cloak the diadem those escorting-before
τοὺς ἑπομένους. ἐγὼ δὲ εἰδὼς ὁπόσα με ἠνία καὶ
those following I but knowing how-many-things me pained and
ἔστρεφεν, ἐκείνοις μὲν τῆς ἀνοίας συνεγίνωσκον, ἐμαυτὸν
tormented to-them indeed for-the folly I-made-allowance myself

δὲ ἠλέουν ὅμοιον ὄντα τοῖς μεγάλοις ἐκείνοις κολοσσοῖς,
but pitied like being to-the great those colossi
οἵους ἢ Φειδίας ἢ Μύρων ἢ Πραξιτέλης ἐποίησεν·
such-as either Phidias or Myron or Praxiteles made
κἀκείνων γὰρ ἕκαστος ἔκτοσθεν μὲν Ποσειδῶν τις ἢ Ζεύς
and-of-those for each outside indeed Poseidon some or Zeus
ἐστι πάγκαλος ἐκ χρυσίου καὶ ἐλέφαντος συνειργασμένος,
is very-fine from gold and ivory wrought
κεραυνὸν ἢ ἀστραπὴν ἢ τρίαιναν ἔχων ἐν τῇ δεξιᾷ, ἢν
thunderbolt or lightning or trident holding in the right-hand if
δὲ ὑποκύψας ἴδῃς τά γ' ἔνδον, ὄψει μοχλούς
but having-stooped you-look-at the-things at-least inside you-will-see bars
τινας καὶ γόμφους καὶ ἥλους διαμπὰξ πεπερονημένους
some and dowels and nails right-through pierced
καὶ κορμοὺς καὶ σφῆνας καὶ πίτταν καὶ πηλὸν καὶ
and logs and wedges and pitch and clay and
τοιαύτην τινὰ πολλὴν ἀμορφίαν ὑποικουροῦσαν· ἐῶ
such some much ugliness keeping-house-beneath I-let-pass
λέγειν μυῶν πλῆθος ἢ μυγαλῶν ἐμπολιτευόμενον αὐτοῖς
to-tell of-mice multitude or of-shrew-mice dwelling in-them
ἐνίοτε. τοιοῦτόν τι καὶ βασιλεία ἐστίν.
sometimes such something also kingship is

MICYLLUS οὐδέπω ἔφησθα τὸν πηλὸν καὶ τοὺς γόμφους 25
not-yet did-you-say the clay and the dowels
καὶ μοχλοὺς οἵτινες εἶεν τῆς ἀρχῆς, οὐδὲ τὴν
and bars what they-might-be of-the rule nor the
ἀμορφίαν ἐκείνην τὴν πολλὴν ἥτις ἐστίν· ὡς τό γε
ugliness that the much what it-is since the at-least
ἐξελαύνειν ἀποβλεπόμενον καὶ τοσούτων ἄρχοντα καὶ
to-drive-out being-looked-at and so-many ruling and
προσκυνούμενον δαιμονίως ἔοικέ σου τῷ κολοσσιαίῳ
being-bowed-to marvelously resembles your the colossal

παραδείγματι· θεσπέσιον γάρ τι καὶ τοῦτο. σὺ δὲ
example godlike for something also this you and
τὰ ἔνδον ἤδη τοῦ κολοσσοῦ λέγε.
the-things inside now of-the colossus tell
COCK τί πρῶτον εἴπω σοι, ὦ Μίκυλλε; τοὺς φόβους
what first shall-I-tell you O Micyllus the fears
καὶ τὰ δείματα καὶ ὑποψίας καὶ μῖσος τὸ παρὰ τῶν
and the terrors and suspicions and hatred the from the
συνόντων καὶ ἐπιβουλάς, καὶ διὰ ταῦτα ὕπνον τε
companions and plots and because-of these-things sleep both
ὀλίγον, ἐπιπόλαιον κἀκεῖνον, καὶ ταραχῆς μεστὰ ὀνείρατα
little shallow that-too and of-confusion full dreams
καὶ ἐννοίας πολυπλόκους καὶ ἐλπίδας ἀεὶ πονηράς, ἢ τὴν
and thoughts intricate and hopes always evil or the
ἀσχολίαν καὶ χρηματισμοὺς καὶ δίκας καὶ ἐκστρατείας καὶ
busyness and audiences and lawsuits and campaigns and
προστάγματα καὶ συνθήματα καὶ λογισμούς; ὑφ' ὧν οὐδὲ
commands and passwords and reckonings by which not-even
ὄναρ ἀπολαῦσαί τινος ἡδέος ἐγγίνεται, ἀλλ' ἀνάγκη ὑπὲρ
in-a-dream to-enjoy anything pleasant is-possible but necessity about
ἁπάντων μόνον διασκοπεῖσθαι καὶ μυρία ἔχειν πράγματα·
all alone to-examine and countless to-have troubles

οὐδὲ γὰρ Ἀτρεΐδην Ἀγαμέμνονα
not-even for Atreus'-son Agamemnon
ὕπνος ἔχε γλυκερὸς πολλὰ φρεσὶν ὁρμαίνοντα,
sleep held sweet many-things in-mind pondering

καὶ ταῦτα ῥεγκόντων Ἀχαιῶν ἁπάντων. λυπεῖ δὲ τὸν
and that snoring Achaeans all pains and the
μὲν Λυδὸν υἱὸς κωφὸς ὤν, τὸν Πέρσην δὲ Κλέαρχος
indeed Lydian son mute being the Persian and Clearchus

Κύρῳ ξενολογῶν, ἄλλον δὲ Δίων πρὸς οὓς τισι
for-Cyrus hiring-mercenaries another and Dion to ear with-some
τῶν Συρακουσίων κοινολογούμενος, καὶ ἄλλον Παρμενίων
of-the Syracusans conferring and another Parmenion
ἐπαινούμενος καὶ Περδίκκαν Πτολεμαῖος καὶ Πτολεμαῖον
being-praised and Perdiccas Ptolemy and Ptolemy
Σέλευκος· ἀλλὰ κἀκεῖνα λυπεῖ, [...] παλλακὶς ἄλλῳ
Seleucus but those-things-too pain (omitted) concubine in-another
χαίρουσα καὶ ἀποστήσεσθαί τινες λεγόμενοι καὶ δύ' ἢ
rejoicing and to-be-going-to-revolt some said and two or
τέτταρες τῶν δορυφόρων πρὸς ἀλλήλους διαψιθυρίζοντες.
four of-the bodyguards to one-another whispering
τὸ δὲ μέγιστον, ὑφορᾶσθαι δεῖ μάλιστα τοὺς
the and greatest to-suspect it-is-needful most the
φιλτάτους κἀξ ἐκείνων ἀεί τι δεινὸν ἐλπίζειν
dearest and-from them always something terrible to-expect
ἥξειν. ἐγὼ γοῦν ὑπὸ τοῦ παιδὸς ἀπέθανον ἐκ
to-be-going-to-come I at-least by the son died from
φαρμάκων, ὁ δὲ καὶ αὐτὸς ὑπὸ τοῦ ἐρωμένου, τὸν
poisons he and also himself by the beloved the(-other)
δὲ ἄλλος ἴσως ὁμοιότροπος θάνατος κατέλαβεν.
and another perhaps similar death overtook
MICYLLUS ἄπαγε, δεινὰ ταῦτα φής, ὦ ἀλεκτρυών. 26
away terrible-things these you-say O cock
ἐμοὶ γοῦν πολὺ ἀσφαλέστερον σκυτοτομεῖν ἐπικεκυφότα
for-me at-least much safer to-cut-leather stooping-over
ἢ πίνειν ἀπὸ χρυσῆς φιάλης κωνείῳ ἢ ἀκονίτῳ
than to-drink from golden bowl with-hemlock or aconite
συνανακραθεῖσαν φιλοτησίαν· ὁ γοῦν κίνδυνος ἐμοὶ μέν,
mixed loving-cup the at-least danger to-me indeed
εἰ παρολίσθοι τὸ σμιλίον καὶ ἁμάρτοι τῆς τομῆς τῆς ἐπ'
if should-slip the knife and should-miss the cut the on

εὐθύ, ὀλίγον τι αἱμάξαι τοὺς δακτύλους ἐντεμόντα·
straight little something to-bloody the fingers having-cut-into
οἱ δέ, ὡς φής, θανάσιμα εὐωχοῦνται, καὶ ταῦτα μυρίοις
they but as you-say deadly-things feast and that with-countless
κακοῖς συνόντες. εἶτ' ἐπειδὰν πέσωσιν, ὅμοιοι μάλιστα
evils living then when they-fall like most
φαίνονται τοῖς τραγικοῖς ὑποκριταῖς, ὧν πολλοὺς ἰδεῖν
appear to-the tragic actors of-whom many to-see
ἔνεστι τέως μὲν Κέκροπας δῆθεν ὄντας ἢ Σισύφους ἢ
it-is-possible for-a-time indeed Cecropses forsooth being or Sisyphuses or
Τηλέφους, διαδήματα ἔχοντας καὶ ξίφη ἐλεφαντόκωπα καὶ
Telephuses diadems having and swords ivory-hilted and
ἐπίσειστον κόμην καὶ χλαμύδα χρυσόπαστον, ἢν δέ, οἷα
waving hair and cloak gold-spangled if but as
πολλὰ γίνεται, κενεμβατήσας τις αὐτῶν ἐν μέσῃ τῇ
many-things happen having-stepped-on-nothing one of-them in middle the
σκηνῇ καταπέσῃ, γέλωτα δηλαδὴ παρέχει τοῖς θεαταῖς τοῦ
stage falls-down laughter of-course affords to-the spectators of-the
προσωπείου μὲν συντριβέντος αὐτῷ διαδήματι, ἡμαγμένης
mask indeed being-shattered with-the diadem bloodied
δὲ τῆς ἀληθοῦς κεφαλῆς τοῦ ὑποκριτοῦ καὶ τῶν σκελῶν
and the real head of-the actor and the legs
ἐπὶ πολὺ γυμνουμένων, ὡς τῆς τε ἐσθῆτος τὰ ἔνδοθεν
to much being-bared so-that of-the both robe the inner-parts
φαίνεσθαι ῥάκια δύστηνα ὄντα καὶ τῶν ἐμβατῶν τὴν
to-appear rags wretched being and of-the buskins the
ὑπόδεσιν ἀμορφοτάτην καὶ οὐχὶ κατὰ λόγον τοῦ ποδός.
binding most-unshapely and not in proportion to-the foot
ὁρᾷς ὅπως με καὶ εἰκάζειν ἐδίδαξας ἤδη, ὦ βέλτιστε
you-see how me also to-compare you-have-taught already O best
ἀλεκτρυών; ἀλλὰ τυραννὶς μὲν τοιοῦτόν τι ὤφθη
cock but tyranny indeed such something was-seen

οὖσα. ἵππος δὲ ἢ κύων ἢ ἰχθὺς ἢ βάτραχος ὁπότε
being horse but or dog or fish or frog when
γένοιο, πῶς ἔφερες ἐκείνην τὴν διατριβήν;
you-were how did-you-bear that the life
COCK μακρὸν τοῦτον ἀνακινεῖς τὸν λόγον καὶ οὐ τοῦ 27
long this you-stir-up the talk and not for-the
παρόντος καιροῦ· πλὴν τό γε κεφάλαιον, οὐδεὶς
present occasion except the at-least sum none
ὅστις οὐκ ἀπραγμονέστερος τῶν βίων ἔδοξέ μοι τοῦ
which not more-untroubled of-the lives seemed to-me than-the
ἀνθρωπείου, μόναις ταῖς φυσικαῖς ἐπιθυμίαις καὶ χρείαις
human with-only the natural desires and needs
συμμεμετρημένος· τελώνην δὲ ἵππον ἢ συκοφάντην
measured tax-collector but horse or informer
βάτραχον ἢ σοφιστὴν κολοιὸν ἢ ὀψοποιὸν κώνωπα ἢ
frog or sophist jackdaw or cook gnat or
κίναιδον ἀλεκτρυόνα καὶ τἆλλα ὅσα ὑμεῖς ἐπιτηδεύετε,
pervert cock and the-rest as-many-as you practice
οὐκ ἂν ἴδοις ἐν ἐκείνοις.
not — you-would-see among those

Micyllus admits he still wants to be rich. The cock lets him pluck a tail feather, given it by Hermes, that opens doors and makes its holder unseen; Micyllus plucks both, and they go out by night. They find Simon awake by a dim lamp, fretting over his buried gold and starting at every noise, and Micyllus strikes him; then Gniphon the moneylender, reckoning his interest. In Eucrates' house they find the rich man shamed by his own slave and his wife by the cook. Micyllus would rather starve than inherit such wealth, and at dawn the cock leads him home.

28 MICYLLUS ἀληθῆ ἴσως ταῦτα, ὦ ἀλεκτρυών. ἐγὼ δὲ ὃ
true perhaps these-things O cock I but what
πέπονθα οὐκ αἰσχύνομαι πρὸς σὲ εἰπεῖν· οὐδέπω
I-have-experienced not I-am-ashamed to you to-tell not-yet
δύναμαι ἀπομαθεῖν τὴν ἐπιθυμίαν ἣν ἐκ παίδων εἶχον
I-can to-unlearn the desire which from childhood I-had
πλούσιος γενέσθαι, ἀλλὰ μὴν καὶ τοὐνύπνιον ἔτι πρὸ
rich to-become but truly also the-dream still before
τῶν ὀφθαλμῶν ἕστηκεν ἐπιδεικνύμενον τὸ χρυσίον, καὶ
the eyes stands displaying the gold and
μάλιστα ἐπὶ τῷ καταράτῳ Σίμωνι ἀποπνίγομαι τρυφῶντι
most at the accursed Simon I-choke living-in-luxury
ἐν ἀγαθοῖς τοσούτοις.
in goods so-great
COCK ἐγώ σε ἰάσομαι, ὦ Μίκυλλε· καὶ ἐπείπερ ἔτι νύξ
I you will-cure O Micyllus and since still night
ἐστιν, ἐξαναστὰς ἕπου μοι· ἀπάξω γάρ σε παρ' αὐτὸν
it-is having-got-up follow me I-will-lead-off for you to himself
ἐκεῖνον τὸν Σίμωνα καὶ εἰς τὰς τῶν ἄλλων πλουσίων
that — Simon and into the of-the other rich
οἰκίας. ὡς ἴδοις οἷα τὰ παρ' αὐτοῖς ἐστι.
houses that you-may-see what-sort the-things at them are

MICYLLUS πῶς τοῦτο, κεκλεισμένων τῶν θυρῶν; εἰ μὴ καὶ
how this being-shut the doors if not also
τοιχωρυχεῖν γε σύ με ἀναγκάσεις.
to-break-in at-least you me will-force
COCK οὐδαμῶς, ἀλλ' ὁ Ἑρμῆς, οὗπερ ἱερός εἰμι, ἐξαίρετον
by-no-means but — Hermes whose-very sacred I-am special
ἔδωκέ μοι τοῦτο, ἤν τις τὸ οὐραῖον πτερὸν τὸ μήκιστον,
gave me this if anyone the tail feather the longest
ὃ δι' ἁπαλότητα ἐπικαμπές ἐστι —
which because-of softness curved is
MICYLLUS δύο δ' ἔστι σοι τοιαῦτα.
two and there-are on-you such
COCK τὸ δεξιὸν τοίνυν ὅτῳ ἂν ἐγὼ ἀποσπάσαι παράσχω
the right then to-whomever — I to-pluck-out allow
καὶ ἔχειν, ἐς ὅσον ἂν βούλωμαι ἀνοίγειν τε ὁ τοιοῦτος
and to-have for as-long-as — I-wish to-open both the such-a-one
πᾶσαν θύραν δύναται καὶ ὁρᾶν ἅπαντα οὐχ ὁρώμενος αὐτός.
every door can and to-see all-things not seen himself
MICYLLUS ἐλελήθεις με, ὦ ἀλεκτρυών, καὶ σὺ γόης
you-had-escaped-notice me O cock also you sorcerer
ὤν. ἐμοὶ δ' οὖν ἦν τοῦτο ἅπαξ παράσχῃς, ὄψει
being to-me but then if this once you-grant you-will-see
τὰ Σίμωνος πάντα ἐν βραχεῖ δεῦρο μετενηνεγμένα·
the-things of-Simon all in short-time hither transferred
μετοίσω γὰρ αὐτὰ παρεισελθών, ὁ δὲ αὖθις περιτρώξεται
I-will-transfer for them having-slipped-in he and again will-gnaw-round
ἀποτείνων τὰ καττύματα.
stretching the soles

COCK οὐ θέμις γενέσθαι τοῦτο· παρήγγειλε γὰρ ὁ Ἑρμῆς,
not lawful to-happen this ordered for — Hermes
ἤν τι τοιοῦτον ἐργάσηται ὁ ἔχων τὸ πτερόν,
if anything such does the(-one) having the feather
ἀναβοήσαντά με καταφωρᾶσαι αὐτόν.
having-shouted me to-catch-in-the-act him
MICYLLUS ἀπίθανον λέγεις, κλέπτην τὸν Ἑρμῆν αὐτὸν
unconvincing-thing you-say thief — Hermes himself
ὄντα τοῖς ἄλλοις φθονεῖν τοῦ τοιούτου. ἀπίωμεν δ' ὅμως·
being to-the others to-begrudge the such-thing let-us-go-off but nevertheless
ἀφέξομαι γὰρ τοῦ χρυσίου, ἢν δύνωμαι.
I-will-keep-away for from-the gold if I-can
COCK ἀπότιλον, ὦ Μίκυλλε, πρότερον τὸ πτίλον — τί
pluck-out O Micyllus first the feather what
τοῦτο; ἄμφω ἀπέτιλας.
this both have-you-plucked-out
MICYLLUS ἀσφαλέστερον οὕτως, ὦ ἀλεκτρυών, καὶ σοὶ
safer so O cock and for-you
ἧττον ἂν ἄμορφον τὸ πρᾶγμα εἴη, ὡς μὴ χωλεύοις
less — unsightly the matter would-be so-that not you-may-limp
διὰ θάτερον τῆς οὐρᾶς μέρος.
because-of the-other of-the tail part
29 COCK εἶεν. ἐπὶ τὸν Σίμωνα πρῶτον ἄπιμεν ἢ παρ' ἄλλον
well to — Simon first shall-we-go or to another
τινὰ τῶν πλουσίων;
some of-the rich
MICYLLUS οὐ μὲν οὖν, ἀλλὰ παρὰ τὸν Σίμωνα, ὃς ἀντὶ
not indeed then but to — Simon who instead-of
δισυλλάβου τετρασύλλαβος ἤδη πλουτήσας εἶναι ἀξιοῖ. καὶ
two-syllabled four-syllabled now having-grown-rich to-be claims and
δὴ πάρεσμεν ἐπὶ τὰς θύρας. τί οὖν ποιῶ τὸ μετὰ τοῦτο;
indeed we-are-here at the doors what then do-I-do the after this

COCK ἐπίθες τὸ πτερὸν ἐπὶ τὸ κλεῖθρον.
put the feather on the bolt
MICYLLUS ἰδοὺ δή. ὦ Ἡράκλεις, ἀναπέπταται ὥσπερ ὑπὸ
look indeed O Heracles has-flown-open as by
κλειδὶ ἡ θύρα.
key the door
COCK ἡγοῦ ἐς τὸ πρόσθεν. ὁρᾷς αὐτὸν ἀγρυπνοῦντα καὶ
lead into the front do-you-see him lying-awake and
λογιζόμενον;
reckoning
MICYLLUS ὁρῶ νὴ Δία πρὸς ἀμαυράν γε καὶ διψῶσαν τὴν
I-see by Zeus by dim at-least and thirsty the
θρυαλλίδα, καὶ ὠχρὸς δὲ ἐστὶν οὐκ οἶδ' ὅθεν, ἀλεκτρυών,
wick and pale and he-is not I-know whence cock
καὶ κατέσκληκεν ὅλος ἐκτετηκώς, ὑπὸ φροντίδων δηλαδή·
and has-withered all wasted-away by cares plainly
οὐ γὰρ νοσεῖν ἄλλως ἐλέγετο.
not for to-be-ill otherwise he-was-said
COCK ἄκουσον ἅ φησιν· εἴσῃ γὰρ ὅθεν οὕτως ἔχει.
hear what he-says you-will-know for whence so he-fares
SIMON οὐκοῦν τάλαντα μὲν ἑβδομήκοντα ἐκεῖνα πάνυ
then talents indeed seventy those very
ἀσφαλῶς ὑπὸ τῇ κλίνῃ κατορώρυκται καὶ οὐδεὶς ἄλλος οἶδε,
safely under the bed are-buried and no-one other knows
τὰ δὲ ἑκκαίδεκα εἶδεν, οἶμαι, Σωσύλος ὁ ἱπποκόμος ὑπὸ
the and sixteen saw I-think Sosylus the groom under
τῇ φάτνῃ κατακρύπτοντά με· ὅλος γοῦν περὶ τὸν ἱππῶνά
the manger hiding me wholly at-least about the stable
ἐστιν, οὐ πάνυ ἐπιμελὴς ἄλλως οὐδὲ φιλόπονος ὤν. εἰκὸς δὲ
he-is not very careful otherwise nor industrious being likely and
ἡρπάσθαι πολλῷ πλείω τούτων, ἢ πόθεν γὰρ ὁ Τίβειος
to-have-been-stolen much more than-these or from-where for — Tibius

τάριχος αὑτῷ οὕτω μέγα ὠψωνηκέναι χθὲς ἐλέγετο ἢ τῇ
salt-fish for-himself so great to-have-bought yesterday was-said or for-the
γυναικὶ ἐλλόβιον ἐωνῆσθαι πέντε δραχμῶν ὅλων; τἀμὰ
wife earring to-have-bought of-five drachmas whole the-things-mine
οὗτοι σπαθῶσι τοῦ κακοδαίμονος. ἀλλ' οὐδὲ τὰ ἐκπώματα
these squander of-the unlucky-man but not-even the cups
ἐν ἀσφαλεῖ μοι ἀπόκειται τοσαῦτα ὄντα· δέδια γοῦν μή
in safety for-me are-laid-up so-many being I-fear at-least lest
τις ὑπορύξας τὸν τοῖχον ὑφέληται αὐτά· πολλοὶ φθονοῦσι
anyone having-dug-under the wall may-filch them many envy
καὶ ἐπιβουλεύουσί μοι, καὶ μάλιστα ὁ γείτων Μίκυλλος.
and plot-against me and most the neighbor Micyllus
MICYLLUS νὴ Δία· σοὶ γὰρ ὅμοιος ἐγὼ καὶ τὰ τρύβλια ὑπὸ
by Zeus to-you for like I and the bowls under
μάλης ἄπειμι ἔχων.
armpit I-go-off having
COCK σιώπησον, Μίκυλλε, μὴ καταφωράσῃ παρόντας ἡμᾶς.
be-silent Micyllus lest he-catch present us
SIMON ἄριστον γοῦν ἄγρυπνον αὐτὸν φυλάττειν· ἅπασαν
best at-least sleepless myself to-keep-watch the-whole
περίειμι διαναστὰς ἐν κύκλῳ τὴν οἰκίαν. τίς οὗτος; ὁρῶ σέ
I-will-go-round having-got-up in circle the house who this-is I-see you
γε, τοιχωρύχε — μὰ Δία, ἐπεὶ κίων γε ὢν τυγχάνεις,
at-least burglar by Zeus since pillar at-least being you-happen
εὖ ἔχει. ἀριθμήσω αὖθις ἀνορύξας τὸ χρυσίον, μή τί με
well it-is I-will-count again having-dug-up the gold lest anything me
πρῴην διέλαθεν. ἰδοὺ πάλιν ἐψόφηκέ τις· ἐπ' ἐμὲ δηλαδή·
lately escaped look again has-made-a-noise someone at me plainly
πολιορκοῦμαι καὶ ἐπιβουλεύομαι πρὸς ἁπάντων. ποῦ μοι
I-am-besieged and plotted-against by all where for-me
τὸ ξιφίδιον; ἂν λάβω τινά — θάπτωμεν αὖθις τὸ χρυσίον.
the dagger if I-catch anyone let-us-bury again the gold

COCK τοιαῦτα μέν σοι, ὦ Μίκυλλε, τὰ Σίμωνος. 30
such-things indeed for-you O Micyllus the-things of-Simon
ἀπίωμεν δὲ καὶ παρ᾽ ἄλλον τινά, ἕως ἔτι ὀλίγον τῆς
let-us-go-off and also to another some while still little of-the
νυκτὸς λοιπόν ἐστιν.
night left is
MICYLLUS ὁ κακοδαίμων, οἷον βιοῖ τὸν βίον. ἐχθροῖς οὕτω
the unlucky-man what-sort lives the life to-enemies so
πλουτεῖν γένοιτο. κατὰ κόρρης δ᾽ οὖν πατάξας αὐτὸν
to-be-rich may-it-befall on temple but then having-struck him
ἀπελθεῖν βούλομαι.
to-go-off I-wish
SIMON τίς ἐπάταξέ με; λῃστεύομαι ὁ δυστυχής.
who struck me I-am-robbed the unfortunate
MICYLLUS οἴμωζε καὶ ἀγρύπνει καὶ ὅμοιος γίγνου τὸ χρῶμα
howl and lie-awake and like become in-the color
τῷ χρυσῷ προστετηκὼς αὐτῷ. ἡμεῖς δὲ παρὰ Γνίφωνα,
to-the gold having-wasted-on it we but to Gniphon
εἰ δοκεῖ, τὸν δανειστὴν ἴωμεν. οὐ μακρὰν δὲ καὶ οὗτος
if it-seems the moneylender let-us-go not far and also this-one
οἰκεῖ. ἀνέῳγε καὶ αὕτη ἡμῖν ἡ θύρα.
lives has-opened also this for-us the door
COCK ὁρᾷς ἐπαγρυπνοῦντα καὶ τοῦτον ἐπὶ φροντίδων, 31
do-you-see lying-awake also this-one over cares
ἀναλογιζόμενον τοὺς τόκους καὶ τοὺς δακτύλους
reckoning-up the interests and the fingers
κατεσκληκότα, ὧν δεήσει μετ᾽ ὀλίγον πάντα ταῦτα
withered whom it-will-be-needful after little all these-things
καταλιπόντα σίλφην ἢ ἐμπίδα ἢ κυνόμυιαν γενέσθαι;
having-left cockroach or gnat or dog-fly to-become

MICYLLUS ὁρῶ κακοδαίμονα καὶ ἀνόητον ἄνθρωπον οὐδὲ
I-see unlucky and foolish man not-even
νῦν πολὺ τῆς σίλφης ἢ ἐμπίδος ἄμεινον βιοῦντα. ὡς
now much than-the cockroach or gnat better living how
δὲ καὶ οὗτος ἐκτέτηκεν ὅλος ὑπὸ τῶν λογισμῶν. ἐπ᾽
and also this-one has-wasted-away all by the reckonings to
ἄλλον ἀπίωμεν.
another let-us-go-off

32 COCK παρὰ τὸν σὸν Εὐκράτην, εἰ δοκεῖ. καὶ ἰδοὺ γάρ,
to — your Eucrates if it-seems and look for
ἀνέῳγε καὶ αὕτη ἡ θύρα· ὥστε εἰσίωμεν.
has-opened also this the door so-that let-us-go-in

MICYLLUS ἅπαντα ταῦτα μικρὸν ἔμπροσθεν ἐμὰ ἦν.
all these-things little before mine were

COCK ἔτι γὰρ σὺ ὀνειροπολεῖς τὸν πλοῦτον; ὁρᾷς δ᾽ οὖν
still for you dream-of the wealth do-you-see but then
τὸν Εὐκράτην αὐτὸν μὲν ὑπὸ τοῦ οἰκέτου πρεσβύτην
— Eucrates himself indeed by the house-slave elderly
ἄνθρωπον—;
man

MICYLLUS ὁρῶ νὴ Δία καταπυγοσύνην καὶ πασχητιασμόν
I-see by Zeus debauchery and lewdness
τινα καὶ ἀσέλγειαν οὐκ ἀνθρωπίνην· τὴν γυναῖκα δὲ
some and licentiousness not human the wife and
ἑτέρωθι ὑπὸ τοῦ μαγείρου καὶ αὐτήν —
elsewhere by the cook also herself

33 COCK τί οὖν; ἐθέλοις ἂν καὶ τούτων κληρονομεῖν, ὦ
what then would-you-wish — also these to-inherit O
Μίκυλλε, καὶ πάντα ἔχειν τὰ Εὐκράτους;
Micyllus and all to-have the-things of-Eucrates

MICYLLUS μηδαμῶς, ὦ ἀλεκτρυών· λιμῷ ἀπολοίμην πρότερον.
by-no-means O cock by-hunger may-I-perish first
χαιρέτω τὸ χρυσίον καὶ τὰ δεῖπνα, δύο ὀβολοὶ ἐμοί γε
farewell the gold and the dinners two obols to-me at-least
πλοῦτός ἐστι μᾶλλον ἢ τοιχωρυχεῖσθαι πρὸς τῶν οἰκετῶν.
wealth is rather than to-be-burgled by the house-slaves
COCK ἀλλὰ νῦν γὰρ ἡμέρα ἤδη ἀμφὶ τὸ λυκαυγὲς αὐτό,
but now for day already about the dawn itself
ἀπίωμεν οἴκαδε παρ᾽ ἡμᾶς· τὰ λοιπὰ δὲ εἰσαῦθις ὄψει,
let-us-go-off home to us the rest and another-time you-will-see
ὦ Μίκυλλε.
O Micyllus

LUCIAN

ΠΕΡΙ ΠΑΡΑΣΙΤΟΥ

The Parasite

Tychiades asks Simon why he alone knows no art by which to help himself or anyone else. Simon knows no music, medicine, geometry, or rhetoric, nor even carpentry or shoemaking, yet he claims a noble art and at last names it: the art of the parasite. Tychiades thinks him mad, but Simon is not ashamed of the name. By a sage's definition of an art he shows that sponging tells whom to sponge on better than an assayer tells coins, finds the words and deeds that win the feeder, knows foods as Plato asks, and perishes unless exercised daily.

TYCH. τί ποτε ἄρα, ὦ Σίμων, οἱ μὲν ἄλλοι ἄνθρωποι 1
why ever then O Simon the indeed other men
καὶ ἐλεύθεροι καὶ δοῦλοι τέχνην ἕκαστός τινα ἐπίστανται
both free and slaves art each some know
δι' ἣς αὑτοῖς τέ εἰσιν καὶ ἄλλῳ χρήσιμοι, σὺ
through which for-themselves both they-are and for-another useful you
δέ, ὡς ἔοικεν, ἔργον οὐδὲν ἔχεις δι' οὗ ἄν τι ἢ
but as it-seems work none you-have through which — anything either
αὐτὸς ἀπόναιο ἢ ἄλλῳ μεταδοίης;
yourself might-profit or to-another might-give-a-share
SIMON πῶς τοῦτο ἐρωτᾷς, ὦ Τυχιάδη; οὐδέπω οἶδα. πειρῶ
how this do-you-ask O Tychiades not-yet do-I-know try
δὴ σαφέστερον ἐρωτᾶν.
indeed more-clearly to-ask
TYCH. ἔστιν ἥντινα τυγχάνεις ἐπιστάμενος τέχνην, οἷον
is-there which you-happen knowing art such-as
μουσικήν;
music
SIMON μὰ Δία.
no-by Zeus
TYCH. τί δέ, ἰατρικήν;
what but medicine

SIMON οὐδὲ ταύτην.

not-even this

TYCH. ἀλλὰ γεωμετρίαν;

but geometry

SIMON οὐδαμῶς.

by-no-means

TYCH. τί δέ, ῥητορικήν; φιλοσοφίας μὲν γὰρ τοσοῦτον

what but rhetoric from-philosophy indeed for so-far

ἀπέχεις ὅσον καὶ ἡ κακία.

you-are-distant as-far-as also the vice

SIMON ἐγὼ μέν, εἰ οἷόν τε εἶναι, καὶ πλεῖον. ὥστε μὴ

I indeed if possible — to-be also farther so-that not

δόκει τοῦτο καθάπερ ἀγνοοῦντι ὀνειδίσαι· φημὶ γὰρ

think this as to-one-not-knowing to-reproach I-say for

κακὸς εἶναι καὶ χείρων ἢ σὺ δοκεῖς.

bad to-be and worse than you think

TYCH. ναί. ἀλλὰ ταύτας μὲν ἴσως τὰς τέχνας οὐκ ἐξέμαθες

yes but these indeed perhaps the arts not you-learned

διὰ μέγεθος αὐτῶν καὶ δυσκολίαν, τῶν δὲ δημοτικῶν

because-of greatness their and difficulty of-the but common-ones

τινα, τεκτονικὴν ἢ σκυτοτομικήν; καὶ γὰρ οὐδὲ τἄλλα

some carpentry or shoemaking and for not-even the-rest

οὕτως ἔχει σοι, ὡς μὴ καὶ τοιαύτης ἂν δεηθῆναι τέχνης.

so is for-you so-that not also of-such — to-need art

SIMON ὀρθῶς λέγεις, ὦ Τυχιάδη· ἀλλ᾽ οὐδὲ γὰρ τούτων

rightly you-say O Tychiades but not-even for of-these

οὐδεμιᾶς ἐπιστήμων εἰμί.

none skilled-in am-I

TYCH. τίνος οὖν ἑτέρας;

of-what then other

SIMON τίνος; ὡς ἐγὼ οἶμαι, γενναίας· ἣν εἰ μάθοις,
of-what as I think noble which if you-should-learn
καὶ σὲ ἐπαινέσειν οἴομαι. ἔργῳ μὲν οὖν κατορθοῦν
also you to-be-going-to-praise I-think in-deed indeed then to-succeed
φημι ἤδη, εἰ δέ σοι καὶ λόγῳ, οὐκ ἔχω εἰπεῖν.
I-claim already if but to-you also in-word not can-I to-tell

TYCH. τίνα ταύτην;
what this

SIMON οὔπω μοι δοκῶ τοὺς περὶ ταύτην ἐκμεμελετηκέναι
not-yet to-me I-seem the about it to-have-thoroughly-practiced
λόγους. ὥστε ὅτι τέχνην μέν τινα ἐπίσταμαι, ὑπάρχει
arguments so-that that art indeed some I-know it-is-possible
ἤδη σοι γιγνώσκειν καὶ μὴ διὰ τοῦτο χαλεπῶς μοι
already for-you to-know and not because-of this hard to-me
ἔχειν· ἥντινα δέ, αὖθις ἀκούσῃ.
to-be which but another-time you-will-hear

TYCH. ἀλλ᾽ οὐκ ἀνέξομαι.
but not will-I-bear-it

SIMON τό γε τῆς τέχνης παράδοξον ἴσως φανεῖταί σοι
the at-least of-the art strange perhaps will-appear to-you
ἀκούσαντι.
having-heard

TYCH. καὶ μὴν διὰ τοῦτο σπουδάζω μαθεῖν.
and truly because-of this I-am-eager to-learn

SIMON εἰσαῦθις, ὦ Τυχιάδη.
another-time O Tychiades

TYCH. μηδαμῶς, ἀλλ᾽ ἤδη λέγε, εἰ μή περ ἄρα αἰσχύνῃ.
by-no-means but now tell if not indeed then you-are-ashamed

SIMON ἡ παρασιτική.
the parasitic-art

2 TYCH. κᾆτα εἰ μὴ μαίνοιτό τις, ὦ Σίμων, τέχνην ταύτην
and-then if not should-be-mad one O Simon art this
φαίη ἄν;
would-call —

SIMON ἔγωγε· εἰ δέ σοι μαίνεσθαι δοκῶ, τοῦ μηδεμίαν ἄλλην
I-at-least if but to-you to-be-mad I-seem of-the no other
ἐπίστασθαι τέχνην αἰτίαν εἶναί μοι τὴν μανίαν δόκει καί με
to-know art cause to-be for-me the madness think and me
τῶν ἐγκλημάτων ἤδη ἀφίει. φασὶ γὰρ τὴν δαίμονα ταύτην
from-the charges now release they-say for the goddess this
τὰ μὲν ἄλλα χαλεπὴν εἶναι τοῖς ἔχουσι, παραιτεῖσθαι
the indeed other-things harsh to-be to-those having to-excuse
δὲ τῶν ἁμαρτημάτων αὐτοὺς ὥσπερ διδάσκαλον ἢ
but from-the faults them like teacher or
παιδαγωγὸν τούτων ἀναδεχομένην εἰς αὑτὴν τὰς αἰτίας.
tutor of-these taking-up onto herself the blame

TYCH. οὐκοῦν, ὦ Σίμων, ἡ παρασιτικὴ τέχνη ἐστί;
then O Simon the parasitic art is

SIMON τέχνη γάρ, κἀγὼ ταύτης δημιουργός.
art yes and-I of-this craftsman

TYCH. καὶ σὺ ἄρα παράσιτος;
and you then parasite

SIMON πάνυ ὠνείδισας, ὦ Τυχιάδη.
very you-reproached O Tychiades

TYCH. ἀλλ᾽ οὐκ ἐρυθριᾷς παράσιτον σαυτὸν καλῶν;
but not do-you-blush parasite yourself calling

SIMON οὐδαμῶς· αἰσχυνοίμην γὰρ ἄν, εἰ μὴ λέγοιμι.
by-no-means I-would-be-ashamed for — if not I-should-say-it

TYCH. καὶ νὴ Δία ὁπόταν σε βουλώμεθα γνωρίζειν τῶν οὐκ
and by Zeus whenever you we-wish to-identify of-those not
ἐπισταμένων τῳ, ὅτε χρῄζοι μαθεῖν, ὁ παράσιτος
knowing to-anyone when he-should-want to-learn the parasite
δῆλον ὅτι φήσομεν εὖ λέγοντες;
clear that we-will-say well speaking
SIMON πολὺ μᾶλλον τοῦτο λέγοντες ἐμὲ ἢ Φειδίαν
much rather this saying of-me than of-Phidias
ἀγαλματοποιόν· χαίρω γὰρ τῇ τέχνῃ οὐδέν τι ἧττον
sculptor I-rejoice for in-the art nothing at-all less
ἢ Φειδίας ἔχαιρε τῷ Διί.
than Phidias rejoiced — in-Zeus
TYCH. καὶ μὴν ἐκεῖνό μοι σκοποῦντι προοῖσται γέλως
and truly that-thing to-me considering will-come-on laughter
πάμπολυς.
very-much
SIMON τὸ ποῖον;
the what
TYCH. εἴ γε καὶ ταῖς ἐπιστολαῖς ἄνωθεν ὥσπερ ἔθος
if at-least also on-the letters above as custom
ἐπιγράφοιμεν, Σίμωνι παρασίτῳ.
we-should-address to-Simon parasite
SIMON καὶ μὴν ἂν ἐμοὶ μᾶλλον χαρίζοιο ἢ Δίωνι
and truly — me more you-would-please than to-Dion
ἐπιγράφων φιλοσόφῳ.
addressing philosopher
TYCH. ἀλλὰ σὺ μὲν ὅπως χαίρεις καλούμενος, οὐδὲν ἢ 3
but you indeed how you-rejoice being-called nothing or
μικρόν μοι μέλει· σκοπεῖν δὲ δεῖ καὶ τὴν ἄλλην
little to-me matters to-consider but it-is-needful also the other
ἀτοπίαν.
absurdity

SIMON τίνα μήν;
what indeed

TYCH. εἰ καὶ ταύτην ταῖς ἄλλαις τέχναις ἐγκαταλέξομεν,
if also this with-the other arts we-shall-enroll

ὥστε ἐπειδὰν πυνθάνηταί τις, ὁποία τις αὕτη τέχνη
so-that when inquires anyone what-kind some this art

ἐστί, λέγειν, οἷον γραμματικὴ ἢ ἰατρική, παρασιτική.
is to-say as grammar or medicine parasitic

SIMON ἐγὼ μέν, ὦ Τυχιάδη, πολὺ μᾶλλον ταύτην ἤ τινα
I indeed O Tychiades much rather this than any

ἑτέραν τέχνην φαίην ἄν. εἰ δέ σοι φίλον ἀκούειν, καὶ
other art would-call — if and to-you dear to-hear also

ὅπως οἶομαι λέγομι ἄν, καίπερ οὐ παντάπασιν ὤν, ὡς
how I-think I-would-tell — although not altogether being as

ἔφθην εἰπών, ἐπὶ τοῦτο παρεσκευασμένος.
I-said-before saying for this prepared

TYCH. οὐθέν, εἰ καὶ σμικρὰ λέγοις, ἀληθῆ δέ, διοίσει.
nothing if even small-things you-should-say true but will-matter

SIMON ἴθι δὴ πρῶτον, εἴ σοι δοκεῖ, περὶ τῆς τέχνης,
come indeed first if to-you it-seems about the art

ἥτις ποτὲ οὖσα τυγχάνει τῷ γένει, σκοπῶμεν· οὑτωσὶ
what ever being it-happens in-the genus let-us-consider thus

γὰρ ἐπακολουθήσαιμεν ἂν καὶ ταῖς κατ᾽ εἴδος τέχναις,
for we-might-follow-on — also the by species arts

εἴπερ ἄρα ὀρθῶς μετέχοιεν αὐτῆς.
if-indeed then rightly they-share in-it

TYCH. τί ποτ᾽ οὖν ἐστιν ἡ τέχνη; πάντως ἐπίστασαι.
what ever then is the art certainly you-know

SIMON πάνυ μὲν οὖν.
very indeed then

TYCH. μὴ τοίνυν ὄκνει λέγειν αὐτήν, εἴπερ οἶσθα.
not then hesitate to-tell it if-indeed you-know

SIMON τέχνη ἐστίν, ὡς ἐγὼ διαμνημονεύω σοφοῦ τινος 4
art is as I remember from-wise someone
ἀκούσας, σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένων
having-heard system from apprehensions exercised-together
πρός τι τέλος εὔχρηστον τῷ βίῳ.
toward some end useful to-the life
TYCH. ὀρθῶς ἐκεῖνός γε εἰπὼν σύ τε ἀπομνημονεύσας.
rightly that-one at-least having-said you both having-remembered
SIMON εἰ δὲ μετέχοι τούτων ἁπάντων ἡ παρασιτική, τί
if but should-share in-these all the parasitic what
ἂν ἄλλο ἢ καὶ αὐτὴ τέχνη εἴη;
— else than also itself art would-be
TYCH. τέχνη γάρ, εἴπερ οὕτως ἔχοι.
art yes if-indeed so it-should-be
SIMON φέρε δὴ καθ' ἕκαστον τοῖς τῆς τέχνης εἴδεσιν
come indeed by each with-the of-the art species
ἐφαρμόζοντες τὴν παρασιτικήν, εἰ συνᾴδει σκοπῶμεν ἢ ὁ
fitting the parasitic if it-agrees let-us-consider or the
περὶ αὐτῆς λόγος, καθάπερ αἱ πονηραὶ χύτραι διακρουόμεναι,
about it account like the bad pots being-struck
σαθρὸν ἀποφθέγγεται. δεῖ τοίνυν πᾶσαν τέχνην σύστημα
rotten rings it-is-needful then every art system
ἐκ καταλήψεων *** πρῶτον μὲν τὸ δοκιμάζειν καὶ
from apprehensions (lacuna) first indeed the to-test and
διακρίνειν ὅστις ἂν ἐπιτήδειος γένοιτο τρέφειν αὐτόν, καὶ
to-distinguish whoever — suitable would-be to-feed him and
ὅτῳ παρασιτεῖν ἀρξάμενος οὐκ ἂν μεταγνοίη. ἢ τὸν μὲν
on-whom to-sponge having-begun not — he-would-repent or the indeed
ἀργυρογνώμονα τέχνην τινὰ φήσομεν ἔχειν, εἴπερ ἐπίσταται
assayer art some shall-we-say to-have if-indeed he-knows
διαγιγνώσκειν τά τε κίβδηλα τῶν νομισμάτων καὶ τὰ μή,
to-distinguish the both counterfeit of-the coins and the not

τοῦτον δὲ ἄνευ τέχνης διακρίνειν τούς τε κιβδήλους τῶν
this-one but without art to-distinguish the both counterfeit of-the
ἀνθρώπων καὶ τοὺς ἀγαθούς, καὶ ταῦτα οὐχ ὥσπερ τῶν
men and the good and that not as of-the
νομισμάτων καὶ τῶν ἀνθρώπων φανερῶν εὐθὺς ὄντων; αὐτὰ
coins also of-the men evident at-once being the-very
μέντοι ταῦτα καὶ ὁ σοφὸς Εὐριπίδης καταμέμφεται λέγων·
however these also the wise Euripides blames saying

ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
of-men but by-which it-is-needful the bad-one to-know-apart
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι.
no mark has-grown on-body

ᾧ δὴ καὶ μείζων ἡ τοῦ παρασίτου τέχνη, ἥ
by-which indeed also greater the of-the parasite art which
γε καὶ τὰ οὕτως ἄδηλα καὶ ἀφανῆ μᾶλλον τῆς
at-least also the-things so unclear and invisible more than-the
μαντικῆς γνωρίζει τε καὶ οἶδεν.
prophetic recognizes both and knows
τὸ δέ γε ἐπίστασθαι λόγους λέγειν ἐπιτηδείους καὶ
the but at-least to-know words to-say suitable and
πράγματα πράττειν δι' ὧν οἰκειώσεται καὶ
things to-do through which he-will-make-himself-intimate and
εὐνούστατον ἑαυτὸν τῷ τρέφοντι ἀποδείξει, ἆρ' οὐ
most-well-disposed himself to-the feeder will-show then not
συνέσεως καὶ καταλήψεως ἐρρωμένης εἶναί σοι δοκεῖ;
of-intelligence and apprehension strong to-be to-you does-it-seem
TYCH. καὶ μάλα.
yes very

SIMON τὸ δέ γε ἐν ταῖς ἑστιάσεσιν αὐταῖς ὅπως παντὸς
the but at-least in the feasts themselves how than-everyone
ἀπέλθοι πλέον ἔχων καὶ παρευδοκιμῶν τοὺς μὴ τὴν
he-may-go-away more having and outshining those not the
αὐτὴν αὐτῷ κεκτημένους τέχνην, ἄνευ τινὸς λόγου καὶ
same with-him having-acquired art without some reason and
σοφίας πράττεσθαι οἴει;
wisdom to-be-done do-you-think
TYCH. οὐδαμῶς.
by-no-means
SIMON τί δέ, τὸ ἐπίστασθαι τὰς ἀρετὰς καὶ κακίας τῶν
what but the to-know the virtues and vices of-the
σιτίων καὶ τῶν ὄψων πολυπραγμοσύνην ἀτέχνου τινὸς εἶναί
foods and of-the relishes meddlesomeness of-unskilled someone to-be
σοι δοκεῖ, καὶ ταῦτα τοῦ γενναιοτάτου Πλάτωνος οὕτωσὶ
to-you does-it-seem and that the most-noble Plato thus
λέγοντος, "τοῦ μέλλοντος ἑστιάσεσθαι μὴ μαγειρικοῦ
saying of-the-one about to-be-feasted not skilled-in-cookery
ὄντος, σκευαζομένης θοίνης ἀκυροτέρα ἡ κρίσις;"
being being-prepared banquet less-authoritative the judgment
ὅτι γε μὴν οὐκ ἐκ καταλήψεως μόνον, ἀλλὰ 6
that at-least truly not from apprehension only but
συγγεγυμνασμένης ἐστὶν ἡ παρασιτική, μάθοις ἂν
exercised-together is the parasitic you-could-learn —
ἐνθένδε ῥᾳδίως· αἱ μὲν γὰρ τῶν ἄλλων τεχνῶν καταλήψεις
from-here easily the indeed for of-the other arts apprehensions
καὶ ἡμέρας καὶ νύκτας καὶ μῆνας καὶ ἐνιαυτοὺς πολλάκις
both days and nights and months and years often
ἀσυγγύμναστοι μένουσιν, καὶ ὅμως οὐκ ἀπόλλυνται παρὰ
unexercised remain and yet not perish with
τοῖς κεκτημένοις αἱ τέχναι, ἡ δὲ τοῦ παρασίτου κατάληψις
those having-acquired the arts the but of-the parasite apprehension

εἰ μὴ καθ' ἡμέραν εἴη ἐν γυμνασίᾳ, ἀπόλλυσιν οὐ
if not by day should-be in exercise destroys not
μόνον, οἶμαι, τὴν τέχνην, ἀλλὰ καὶ αὐτὸν τὸν τεχνίτην.
only I-think the art but also himself the craftsman

II · THE END OF THE ART

Simon shows that the parasite's art serves an end useful to life, eating and drinking, and that it is neither a mere faculty like beauty nor an artlessness, since it saves the man who has it; so it is an art. He defines it as the art of food, drink, and the words and deeds that win them, with pleasure as its end. Homer's Odysseus praises the feast as the finest end, not the Stoics' end when he fetched Philoctetes from Lemnos and sacked Ilium, nor the Epicurean idleness he had with Calypso. Epicurus stole that end from the parasite but cannot reach it: eating off another he is a parasite, and off his own estate he quarrels with cooks and stewards.

7 SIMON τό γε μὴν "πρός τι τέλος εὔχρηστον τῷ βίῳ"
the at-least truly toward some end useful to-the life
μὴ καὶ μανίας ᾖ ζητεῖν. ἐγὼ γὰρ τοῦ φαγεῖν καὶ τοῦ
lest also of-madness it-be to-seek I for than-the to-eat and the
πιεῖν οὐδὲν εὐχρηστότερον εὑρίσκω ἐν τῷ βίῳ, ὧν
to-drink nothing more-useful find in the life without-which
οὐδὲ ζῆν γε ἄνευ ἔστιν.
not-even to-live at-least without is-it-possible
TYCH. πάνυ μὲν οὖν.
very indeed then
8 SIMON καὶ μὴν οὐδὲ τοιοῦτόν τί ἐστιν ἡ παρασιτικὴ
and truly not-even such something is the parasitic
ὁποῖον τὸ κάλλος καὶ ἡ ἰσχύς, ὥστε τέχνην μὲν μὴ
of-what-sort the beauty and the strength so-that art indeed not
δοκεῖν αὐτήν, δύναμιν δέ τινα τοιαύτην.
to-seem it faculty but some such

TYCH. ἀληθῆ λέγεις.

true-things you-say

SIMON ἀλλὰ μέντοι οὐδὲ ἀτεχνία ἐστίν· ἡ γὰρ ἀτεχνία

but however not-even artlessness is-it the for artlessness

οὐδέποτε οὐδὲν κατορθοῖ τῷ κεκτημένῳ. φέρε γάρ, εἰ

never nothing succeeds for-the possessor come for if

ἐπιτρέψειας σὺ σεαυτῷ ναῦν ἐν θαλάττῃ καὶ χειμῶνι μὴ

you-should-entrust you to-yourself ship in sea and storm not

ἐπιστάμενος κυβερνᾶν, σωθείης ἄν;

knowing-how to-steer would-you-be-saved —

TYCH. οὐδαμῶς.

by-no-means

SIMON τί δ', εἰ ἵππους ἐπιτραφθείη τις μὴ ἐπιστάμενος

what but if horses should-be-entrusted one not knowing-how

ἡνιοχεῖν;

to-drive

TYCH. οὐδ' οὗτος.

not-even this-one

SIMON τί δή ποτε, ἢ τῷ μὴ ἔχειν τέχνην, δι' ἧς

why indeed ever than by-the not to-have art through which

δυνήσεται σώζειν ἑαυτόν;

he-will-be-able to-save himself

TYCH. καὶ μάλα.

yes very

SIMON οὐκοῦν καὶ παράσιτος ὑπὸ τῆς παρασιτικῆς, εἴπερ

then also parasite by the parasitic if-indeed

ἦν ἀτεχνία, οὐκ ἂν ἐσώζετο;

it-were artlessness not — would-be-saved

TYCH. ναί.

yes

SIMON οὐκοῦν τέχνῃ σώζεται, ἀτεχνίᾳ δὲ οὔ;

then by-art he-is-saved by-artlessness but not

TYCH. πάνυ μὲν οὖν.
very indeed then

SIMON τέχνη ἄρα ἐστὶν ἡ παρασιτική.
art then is the parasitic

TYCH. τέχνη, ὡς ἔοικεν.
art as it-seems

SIMON καὶ μὴν κυβερνήτας μὲν ἀγαθοὺς ναυαγίᾳ
and truly pilots indeed good into-shipwreck
περιπεσόντας καὶ ἡνιόχους τεχνίτας ἐκπεσόντας τῶν
having-fallen and drivers skilled having-fallen-out of-the
δίφρων οἶδα ἐγὼ πολλάκις, καὶ τοὺς μὲν συντριβέντας,
chariots know I often and the(-ones) indeed crushed
τοὺς δὲ καὶ πάμπαν διαφθαρέντας, παρασίτου δὲ
the(-others) and even altogether destroyed of-parasite but
ναυάγιον οὐδὲ εἷς ἔχοι τοιοῦτον εἰπεῖν.
shipwreck not-even one could such to-tell
οὐκοῦν εἰ μήτε ἀτεχνία ἐστὶν ἡ παρασιτικὴ μήτε δύναμις,
then if neither artlessness is the parasitic nor faculty
σύστημα δέ τι ἐκ καταλήψεων γεγυμνασμένων, τέχνη
system but some from apprehensions exercised art
δῆλον ὅτι διωμολόγηται ἡμῖν σήμερον.
clear that has-been-agreed by-us today

9 TYCH. ὅσον ἐκ τούτου εἰκάζω· ἀλλ' ἐκεῖνο, ὅπως καὶ
as-far-as from this I-conjecture but that how also
ὅρον ἡμῖν τινα γενναῖον ἀποδῷς τῆς παρασιτικῆς.
definition to-us some noble you-may-give of-the parasitic

SIMON ὀρθῶς σύ γε λέγων. δοκεῖ γὰρ δή μοι οὕτως ἂν
rightly you at-least speaking it-seems for indeed to-me thus —
μάλιστα ὡρίσθαι· παρασιτική ἐστιν τέχνη ποτέων
most to-be-defined parasitic is art of-things-to-be-drunk

καὶ βρωτέων καὶ τῶν διὰ ταῦτα λεκτέων καὶ
and things-to-be-eaten and of-the because-of these-things things-to-be-said and
πρακτέων, τέλος δὲ αὐτῆς τὸ ἡδύ.
things-to-be-done end and of-it the pleasant
TYCH. ὑπέρευγέ μοι δοκεῖς ὁρίσασθαι τὴν σεαυτοῦ τέχνην·
excellently to-me you-seem to-have-defined the your-own art
ἀλλ' ἐκεῖνο σκόπει, μὴ πρὸς ἐνίους τῶν φιλοσόφων μάχη
but that consider lest with some of-the philosophers battle
σοι περὶ τοῦ τέλους ᾖ.
for-you about the end may-be
SIMON καὶ μὴν ἀπόχρη γε εἴπερ ἔσται τὸ αὐτὸ τέλος
and truly it-is-enough at-least if-indeed will-be the same end
εὐδαιμονίας καὶ παρασιτικῆς.
of-happiness and of-the-parasitic
φανεῖται δὲ οὕτως· ὁ γὰρ σοφὸς Ὅμηρος τὸν τοῦ 10
will-appear and thus the for wise Homer the of-the
παρασίτου βίον θαυμάζων ὡς ἄρα μακάριος καὶ ζηλωτὸς
parasite life admiring as then blessed and enviable
εἴη μόνος, οὕτω φησίν·
it-were alone thus says

οὐ γὰρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι,
not for I-at-least anything say end more-pleasing to-be
ἢ ὅτ' ἂν εὐφροσύνη μὲν ἔχῃ κάτα δῆμον ἅπαντα,
than when — good-cheer indeed holds throughout people all
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
banqueters and through halls listen to-singer
ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
sitting in-a-row beside and are-full tables

σίτου καὶ κρειῶν, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
of-bread and meats wine and from mixing-bowl drawing
οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσι.
the-wine-pourer brings and pours into-cups

καὶ ὡς οὐχ ἱκανῶς ταῦτα θαυμάζων μᾶλλον τὴν αὑτοῦ
and as not sufficiently these-things admiring more the his-own
γνώμην ποιεῖ φανερωτέραν εὖ λέγων·
opinion makes plainer well saying

τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι,
this something to-me fairest in mind seems to-be

οὐχ ἕτερόν τι, ἐξ ὧν φησιν, ἢ τὸ παρασιτεῖν εὔδαιμον
not other anything from what he-says than the being-a-parasite happy
νομίζων. καὶ μὴν οὐδὲ τῷ τυχόντι ἀνδρὶ περιτέθεικε
thinking and truly not-even to-the chance man has-be-given
τούτους τοὺς λόγους, ἀλλὰ τῷ σοφωτάτῳ τῶν ὅλων. καίτοι
these the words but to-the wisest of-the all and-yet
γε εἴπερ ἐβούλετο Ὀδυσσεὺς τὸ κατὰ τοὺς Στωϊκοὺς
at-least if-indeed wished Odysseus the according-to the Stoics
ἐπαινεῖν τέλος, ἐδύνατο ταυτὶ λέγειν ὅτε τὸν Φιλοκτήτην
to-praise end he-could these-things to-say when — Philoctetes
ἀνήγαγεν ἐκ τῆς Λήμνου, ὅτε τὸ Ἴλιον ἐξεπόρθησεν, ὅτε
he-brought-up from — Lemnos when — Ilium he-sacked when
τοὺς Ἕλληνας φεύγοντας κατέσχεν, ὅτε εἰς Τροίαν εἰσῆλθεν
the Greeks fleeing he-checked when into Troy he-entered
ἑαυτὸν μαστιγώσας καὶ κακὰ καὶ Στωϊκὰ ῥάκη ἐνδύς·
himself having-flogged and bad and Stoic rags having-put-on
ἀλλὰ τότε οὐκ εἶπε τοῦτο τέλος χαριέστερον. ἀλλὰ μὴν
but then not did-he-say this end more-pleasing but truly

καὶ ἐν τῷ τῶν Ἐπικουρείων βίῳ γενόμενος αὖθις παρὰ
also in the of-the Epicureans life having-been again with
τῇ Καλυψοῖ, ὅτε αὐτῷ ὑπῆρχεν ἐν ἀργίᾳ τε βιοτεύειν
— Calypso when to-him it-was-possible in idleness both to-live
καὶ τρυφᾶν καὶ βινεῖν τὴν Ἄτλαντος θυγατέρα καὶ κινεῖν
and to-luxuriate and to-bed the of-Atlas daughter and to-make
πάσας τὰς λείας κινήσεις, οὐδὲ τότε εἶπε τοῦτο τὸ τέλος
all the smooth motions not-even then did-he-say this the end
χαριέστερον, ἀλλὰ τὸν τῶν παρασίτων βίον. ἐκαλοῦντο δὲ
more-pleasing but the of-the parasites life were-called and
δαιτυμόνες οἱ παράσιτοι τότε. πῶς οὖν λέγει; πάλιν γὰρ
banqueters the parasites then how then does-he-say again for
ἄξιον ἀναμνησθῆναι τῶν ἐπῶν· οὐδὲν γὰρ οἷον ἀκούειν αὐτῶν
worth to-recall the verses nothing for like to-hear them
πολλάκις λεγομένων· "δαιτυμόνες καθήμενοι ἑξείης·" καί·
often spoken banqueters sitting in-a-row and

παρὰ δὲ πλήθωσι τράπεζαι
beside and are-full tables
σίτου καὶ κρειῶν.
of-bread and meats

ὅ γε μὴν Ἐπίκουρος σφόδρα ἀναισχύντως ὑφελόμενος 11
— at-least truly Epicurus very shamelessly having-filched
τὸ τῆς παρασιτικῆς τέλος τῆς καθ' αὑτὸν εὐδαιμονίας
the of-the parasitic end of-the by himself happiness
τέλος αὐτὸ ποιεῖ. καὶ ὅτι κλοπὴ τὸ πρᾶγμά ἐστιν καὶ
end it makes and that theft the thing is and
οὐδὲν Ἐπικούρῳ μέλει τὸ ἡδύ, ἀλλὰ τῷ παρασίτῳ,
in-no-way to-Epicurus matters the pleasant but to-the parasite
οὕτω μάθοις ἄν. ἔγωγε ἡγοῦμαι τὸ ἡδὺ πρῶτον μὲν
thus you-could-learn — I-at-least think the pleasant first indeed

τὸ τῆς σαρκὸς ἀόχλητον, ἔπειτα τὸ μὴ θορύβου καὶ
the of-the flesh undisturbed then the not with-confusion and
ταραχῆς τὴν ψυχὴν ἐμπεπλῆσθαι. τούτων τοίνυν ὁ μὲν
turmoil the soul to-be-filled of-these then the indeed
παράσιτος ἑκατέρων τυγχάνει, ὁ δὲ Ἐπίκουρος οὐδὲ
parasite each gains — but Epicurus not-even
θατέρου· ὁ γὰρ ζητῶν περὶ σχήματος γῆς καὶ
of-the-other the(-one) for seeking about shape of-earth and
κόσμων ἀπειρίας καὶ μεγέθους ἡλίου καὶ ἀποστημάτων
of-worlds infinity and size of-sun and distances
καὶ πρώτων στοιχείων καὶ περὶ θεῶν, εἴτε εἰσὶν εἴτε
and first elements and about gods whether they-are or
οὐκ εἰσί, καὶ περὶ αὐτοῦ τοῦ τέλους ἀεὶ πολεμῶν καὶ
not are and about itself the end always warring and
διαφερόμενος πρός τινας οὐ μόνον ἐν ἀνθρωπίναις, ἀλλὰ
quarreling with some not only in human but
καὶ ἐν κοσμικαῖς ἐστιν ὀχλήσεσιν. ὁ δὲ παράσιτος πάντα
also in cosmic is troubles the but parasite all-things
καλῶς ἔχειν οἰόμενος καὶ πεπιστευκὼς μὴ ἄλλως ταῦτα
well to-be thinking and having-believed not otherwise these-things
ἔχειν ἄμεινον ἢ ἔχει, μετὰ πολλῆς ἀδείας καὶ
to-be better than they-are with much freedom-from-fear and
γαλήνης, οὐδενὸς αὐτῷ τοιούτου παρενοχλοῦντος, ἐσθίει
calm nothing him such annoying eats
καὶ κοιμᾶται ὕπτιος ἀφεικὼς τοὺς πόδας καὶ τὰς χεῖρας
and sleeps on-his-back having-let-go the feet and the hands
ὥσπερ Ὀδυσσεὺς τῆς Σχερίας ἀποπλέων οἴκαδε.
like Odysseus — from-Scheria sailing-off home
12 καὶ μὴν οὐχὶ κατὰ ταῦτα μόνον οὐδὲν προσήκει τὸ ἡδὺ
and truly not in these-things only in-no-way belongs the pleasant
τῷ Ἐπικούρῳ, ἀλλὰ καὶ κατ᾽ ἐκεῖνα· ὁ γὰρ Ἐπίκουρος
— to-Epicurus but also in those — for Epicurus

οὗτος, ὅστις ποτέ ἐστιν ὁ σοφός, ἤτοι φαγεῖν ἔχει ἢ οὔ·
this whoever ever is the wise either to-eat has or not
εἰ μὲν οὐκ ἔχει, οὐχ ὅπως ἡδέως ζήσεται, ἀλλ᾽ οὐδὲ
if indeed not he-has not to-speak-of pleasantly he-will-live but not-even
ζήσεται· εἰ δὲ ἔχει, εἴτε παρ᾽ ἑαυτοῦ εἴτε παρ᾽ ἄλλου· εἰ
will-he-live if but he-has either from himself or from another if
μὲν οὖν παρ᾽ ἄλλου τὸ φαγεῖν ἔχοι, παράσιτός ἐστι
indeed then from another the to-eat he-should-have parasite he-is
καὶ οὐχ ὃς λέγει· εἰ δὲ παρ᾽ ἑαυτοῦ, οὐχ ἡδέως ζήσεται.
and not who he-says if but from himself not pleasantly will-he-live

TYCH. πῶς οὐχ ἡδέως;
how not pleasantly

SIMON εἰ γὰρ ἔχοι τὸ φαγεῖν παρ᾽ ἑαυτοῦ, πολλά
if for he-should-have the to-eat from himself many
τοι, ὦ Τυχιάδη, τὰ ἀηδέα τῷ τοιούτῳ βίῳ
you-know O Tychiades the unpleasant-things for-the such life
παρακολουθεῖν ἀνάγκη· καὶ ἄθρει πόσα. δεῖ τὸν
to-attend necessity and observe how-many it-is-needful the(-one)
μέλλοντα βιώσεσθαι καθ᾽ ἡδονὴν τὰς ἐγγιγνομένας
about to-live according-to pleasure the arising
ὀρέξεις ἁπάσας ἀναπληροῦν. ἢ τί φής;
appetites all to-fill or what do-you-say

TYCH. κἀμοὶ δοκεῖ.
to-me-too it-seems

SIMON οὐκοῦν τῷ μὲν συχνὰ κεκτημένῳ ἴσως τοῦτο παρέχει,
then to-the indeed much having-acquired perhaps this it-allows
τῷ δὲ ὀλίγα καὶ μηδὲν οὐκέτι· ὥστε πένης οὐκ ἂν σοφὸς
to-the but few and nothing no-longer so-that poor-man not — wise
γένοιτο οὐδὲ ἐφίκοιτο τοῦ τέλους, λέγω δὴ τοῦ ἡδέος. ἀλλ᾽
would-become nor would-reach the end I-mean indeed the pleasant but
οὐδὲ μὴν ὁ πλούσιος, ὁ παρὰ τῆς οὐσίας ἀφθόνως ταῖς
not-even truly the rich the from the estate lavishly to-the

ἐπιθυμίαις χορηγῶν, δυνήσεται τοῦδε ἐφικέσθαι. τί δή ποτε;
desires supplying will-be-able this to-reach why indeed ever
ὅτι πᾶσα ἀνάγκη τὸν ἀναλίσκοντα τὰ ἑαυτοῦ πολλαῖς
HERMES ἀλλ' οὔτε ἀγνοήσεται ταῦτα, ὦ Ζεῦ, ἐν φανερῷ
but neither will-be-unknown these-things O Zeus in open
ἐσομένης τῆς ἔριδος τοῖς φιλοσόφοις, καὶ δόξεις
going-to-be the strife for-the philosophers and you-will-seem
τυραννικὸς εἶναι μὴ κοινούμενος περὶ τῶν οὕτω μεγάλων
tyrannical to-be not consulting about the so great
καὶ κοινῶν ἅπασιν.
and common to-all

6 ZEUS οὐκοῦν ἤδη κήρυττε καὶ παρέστωσαν ἅπαντες· ὀρθῶς
then now proclaim and let-be-present all rightly
γὰρ λέγεις.
for you-speak

HERMES ἰδοὺ δὴ εἰς ἐκκλησίαν συνέλθετε οἱ θεοί·
look indeed to assembly come-together the gods
μὴ μέλλετε, συνέλθετε πάντες, ἥκετε, περὶ μεγάλων
do-not delay come-together all come about great-things
ἐκκλησιάσομεν.
we-will-hold-assembly

ZEUS οὕτω ψιλά, ὦ Ἑρμῆ, καὶ ἁπλοϊκὰ καὶ πεζὰ κηρύττεις,
so bare O Hermes and simple and prosaic do-you-proclaim
καὶ ταῦτα ἐπὶ τοῖς μεγίστοις συγκαλῶν;
and that for the greatest-things summoning

HERMES ἀλλὰ πῶς γάρ, ὦ Ζεῦ, ἀξιοῖς;
but how for O Zeus do-you-think-fit

ZEUS ὅπως ἀξιῶ; ἀποσέμνυνε, φημί, τὸ κήρυγμα μέτροις τισὶ
how I-think-fit dignify I-say the proclamation with-meters some
καὶ μεγαλοφωνίᾳ ποιητικῇ, ὡς μᾶλλον συνέλθοιεν.
and grandiloquence poetic so-that more they-might-come-together

HERMES ναί. ἀλλ' ἐποποιῶν, ὦ Ζεῦ, καὶ ῥαψῳδῶν τὰ
yes but of-epic-poets O Zeus and rhapsodes the
τοιαῦτα, ἐγὼ δὲ ἥκιστα ποιητικός εἰμι· ὥστε διαφθερῶ τὸ
such-things I but least poetic am so-that I-will-spoil the
κήρυγμα ἢ ὑπέρμετρα ἢ ἐνδεᾶ συνείρων, καὶ γέλως
proclamation either over-long or deficient stringing-together and laughter
ἔσται παρ' αὐτοῖς ἐπὶ τῇ ἀμουσίᾳ τῶν ἐπῶν· ὁρῶ γοῦν
will-be among them at the unmusicality of-the verses I-see at-least
καὶ τὸν Ἀπόλλω γελώμενον ἐπ' ἐνίοις τῶν χρησμῶν,
also — Apollo laughed-at for some of-the oracles
καίτοι ἐπικρυπτούσης τὰ πολλὰ τῆς ἀσαφείας, ὡς μὴ
though concealing the most-part the obscurity so-that not
πάνυ σχολὴν ἄγειν τοὺς ἀκούοντας ἐξετάζειν τὰ μέτρα.
very leisure to-have those hearing to-examine the meters
ZEUS οὐκοῦν, ὦ Ἑρμῆ, τῶν Ὁμήρου ἐπῶν ἐγκαταμίγνυε τὰ
then O Hermes of-the of-Homer verses mix-in the
πολλὰ τῷ κηρύγματι, οἷς ἐκεῖνος ἡμᾶς συνεκάλει·
most-part with-the proclamation with-which that-one us called-together
μεμνῆσθαι δέ σε εἰκός.
to-remember and you likely
HERMES οὐ πάνυ μὲν οὕτω σαφῶς καὶ προχείρως·
not very indeed so clearly and readily
πειράσομαι δὲ ὅμως.
I-will-try but nevertheless

μήτε τις οὖν θήλεια θεὸς... μήτε τις ἄρσην,
neither any then female god nor any male
μηδ' αὖ τῶν ποταμῶν μενέτω νόσφ' Ὠκεανοῖο
nor again of-the rivers let-remain apart-from Ocean
μηδέ τε νυμφάων, ἀλλ' ἐς Διὸς ἔλθετε πάντες
nor and of-nymphs but to of-Zeus come all

εἰς ἀγορήν, ὅσσοι τε κλυτὰς δαίνυσθ' ἑκατόμβας,
to assembly as-many-as both glorious feast-on hecatombs
ὅσσοι τ' αὖ μέσατοι ἢ ὕστατοι ἢ μάλα πάγχυ
as-many-as and again middle or last or very wholly
νώνυμνοι βωμοῖσι παρ' ἀκνίσοισι κάθησθε.
nameless altars by savorless sit

II · SEATING THE GODS

Zeus bids Hermes seat the gods by material and art, gold first, then silver, ivory, bronze, and stone. The golden places go to barbarian gods, Bendis, Anubis, Attis, Mithras, and Men, while the Greek gods are bronze or marble. Poseidon objects to the dog-faced Egyptian sitting before him, Aphrodite cites Homer's golden Aphrodite in vain, and the Rhodians' huge bronze Helios cannot be seated. Zeus lets them sit as they please, then forgets his prepared opening, and Hermes tells him to patch one from Demosthenes against Philip.

7 ZEUS εὖ γε, ὦ Ἑρμῆ, ἄριστα κεκήρυκταί σοι, καὶ
well at-least O Hermes excellently has-been-proclaimed by-you and
συνίασι γὰρ ἤδη· ὥστε παραλαμβάνων κάθιζε αὐτοὺς
they-come-together for already so-that receiving seat them
κατὰ τὴν ἀξίαν ἕκαστον, ὡς ἂν ὕλης ἢ τέχνης
according-to the worth each as — of-material or of-art
ἔχῃ, ἐν προεδρίᾳ μὲν τοὺς χρυσοῦς, εἶτα ἐπὶ τούτοις
he-has in front-seats indeed the golden then after these
τοὺς ἀργυροῦς, εἶτα ἑξῆς ὁπόσοι ἐλεφάντινοι, εἶτα τοὺς
the silver then in-order as-many-as ivory then the
χαλκοῦς ἢ λιθίνους, καὶ ἐν αὐτοῖς τούτοις οἱ
bronze or stone and among themselves these the(-ones)

Φειδίου μὲν ἢ Ἀλκαμένους ἢ Μύρωνος ἢ Εὐφράνορος
of-Phidias indeed or of-Alcamenes or of-Myron or of-Euphranor
ἢ τῶν ὁμοίων τεχνιτῶν προτετιμήσθων, οἱ συρφετώδεις
or of-the like craftsmen let-them-be-preferred the rabble-like
δὲ οὗτοι καὶ ἄτεχνοι πόρρω που συνωσθέντες σιωπῇ
but these and artless far somewhere pushed-together in-silence
ἀναπληρούντων μόνον τὴν ἐκκλησίαν.
let-them-fill-up only the assembly
HERMES ἔσται ταῦτα καὶ καθεδοῦνται ὡς προσήκει. ἀλλ'
will-be these-things and they-will-sit as is-fitting but
ἐκεῖνο οὐ χεῖρον εἰδέναι, ἤν τις αὐτῶν χρυσοῦς μὲν ᾖ καὶ
that not worse to-know if any of-them golden indeed be and
πολυτάλαντος τὴν ὁλκήν, οὐκ ἀκριβὴς δὲ τὴν ἐργασίαν,
many-talented in-the weight not exact but in-the workmanship
ἀλλὰ κομιδῇ ἰδιωτικὸς καὶ ἀσύμμετρος, πρὸ τῶν χαλκῶν
but quite amateurish and ill-proportioned before the bronze
τῶν Μύρωνος καὶ Πολυκλείτου καὶ τῶν Φειδίου καὶ
the of-Myron and of-Polycleitus and the of-Phidias and
Ἀλκαμένους λιθίνων καθεδεῖται ἢ προτιμοτέραν χρὴ
of-Alcamenes stone will-be-sit or more-honored is-it-needful
νομίζειν εἶναι τὴν τέχνην;
to-think to-be the art
ZEUS ἐχρῆν μὲν οὕτως, ἀλλ' ὁ χρυσὸς ὅμως
it-was-needful indeed so but the gold nevertheless
προτιμητέος.
must-be-preferred
HERMES μανθάνω· πλουτίνδην κελεύεις ἀλλὰ μὴ ἀριστίνδην
I-understand by-wealth you-bid but not by-merit
καθίζειν, καὶ ἀπὸ τιμημάτων· ἥκετ' οὖν εἰς τὴν προεδρίαν
to-seat and from assessments come then to the front-seats
ὑμεῖς οἱ χρυσοῖ.
you the golden

8 ἐοίκασι δ᾽ οὖν, ὦ Ζεῦ, οἱ βαρβαρικοὶ προεδρεύσειν
seem and then O Zeus the barbarian to-be-going-to-sit-in-front
μόνοι· ὡς τούς γε Ἕλληνας ὁρᾷς ὁποῖοί εἰσι,
alone since the at-least Greeks you-see of-what-sort they-are
χαρίεντες μὲν καὶ εὐπρόσωποι καὶ κατὰ τέχνην
graceful indeed and fair-faced and according-to art
ἐσχηματισμένοι, λίθινοι δὲ ἢ χαλκοῖ ὅμως ἅπαντες ἢ οἵ
fashioned of-stone but or bronze nevertheless all or those
γε πολυτελέστατοι αὐτῶν ἐλεφάντινοι ὀλίγον ὅσον τοῦ
at-least most-costly of-them ivory little as-much-as of-the
χρυσοῦ ἐπιστίλβον ἔχοντες, ὡς ἐπικεχράνθαι καὶ ἐπηυγάσθαι
gold glittering having so-as to-be-tinged and to-be-brightened
μόνον, τὰ δὲ ἔνδον ὑπόξυλοι καὶ οὗτοι, μυῶν ἀγέλας
only the-parts and within wooden also these of-mice herds
ὅλας ἐμπολιτευομένας σκέποντες· ἡ Βενδῖς δὲ αὕτη καὶ ὁ
whole dwelling-in sheltering — Bendis and this-one and —
Ἄνουβις ἐκεινοσὶ καὶ παρ᾽ αὐτὸν ὁ Ἄττις καὶ ὁ Μίθρης καὶ
Anubis that-one-there and beside him — Attis and — Mithras and
ὁ Μὴν ὁλόχρυσοι καὶ βαρεῖς καὶ πολυτίμητοι ὡς ἀληθῶς.
— Men solid-gold and heavy and much-prized as truly

9 POSEIDON καὶ ποῦ τοῦτο, ὦ Ἑρμῆ, δίκαιον, τὸν κυνοπρόσωπον
and where this O Hermes just the dog-faced
τοῦτον προκαθίζειν μου τὸν Αἰγύπτιον, καὶ ταῦτα Ποσειδῶνος
this to-sit-in-front-of me the Egyptian and that Poseidon
ὄντος;
being

HERMES ναί, ἀλλὰ σὲ μέν, ὦ ἐννοσίγαιε, χαλκοῦν ὁ Λύσιππος
yes but you indeed O earth-shaker bronze — Lysippus
καὶ πτωχὸν ἐποίησεν, οὐκ ἐχόντων τότε Κορινθίων
and poor made not having then Corinthians
χρυσόν· οὗτος δὲ ὅλοις μετάλλοις πλουσιώτερός ἐστιν.
gold this-one but by-whole mines richer is

ἀνέχεσθαι οὖν χρὴ παρεωσμένον, καὶ μὴ ἀγανακτεῖν
to-bear then it-is-needful pushed-aside and not to-be-indignant
εἴ τις ῥῖνα τηλικαύτην χρυσῆν ἔχων προτετιμήσεταί σου.
if anyone nose so-great golden having will-be-preferred to-you
APHRODITE οὐκοῦν, ὦ Ἑρμῆ, κἀμὲ λαβὼν ἐν τοῖς 10
then O Hermes me-too having-taken among the
προέδροις που κάθιζε· χρυσῆ γάρ εἰμι.
front-seated somewhere seat golden for I-am
HERMES οὐχ ὅσα γε, ὦ Ἀφροδίτη, κἀμὲ ὁρᾶν, ἀλλ᾽
not as-far-as at-least O Aphrodite also-I to-see but
εἰ μὴ πάνυ λημῶ, λίθου τοῦ λευκοῦ, Πεντέληθεν,
if not very I-am-bleary-eyed of-stone the white from-Pentele
οἶμαι, λιθοτομηθεῖσα, εἶτα δόξαν οὕτω Πραξιτέλει
I-think quarried then having-seemed-good so to-Praxiteles
Ἀφροδίτη γενομένη Κνιδίοις παρεδόθης.
Aphrodite having-become to-Cnidians you-were-handed-over
APHRODITE καὶ μὴν ἀξιόπιστόν σοι μάρτυρα τὸν Ὅμηρον
and truly trustworthy to-you witness — Homer
παρέξομαι ἄνω καὶ κάτω τῶν ῥαψῳδιῶν χρυσῆν με τὴν
I-will-produce up and down of-the rhapsodies golden me —
Ἀφροδίτην εἶναι λέγοντα.
Aphrodite to-be saying
HERMES καὶ γὰρ τὸν Ἀπόλλω ὁ αὐτὸς πολύχρυσον εἶναι
and for — Apollo the same rich-in-gold to-be
ἔφη καὶ πλούσιον· ἀλλὰ νῦν ὄψει κἀκεῖνον ἐν τοῖς
said and rich but now you-will-see also-that-one among the
ζευγίταις που καθήμενον, ἀπεστεφανωμένον τε ὑπὸ τῶν
third-class somewhere sitting stripped-of-garlands both by the
λῃστῶν καὶ τοὺς κόλλοπας τῆς κιθάρας περισεσυλημένον.
robbers and the pegs of-the lyre robbed
ὥστε ἀγάπα καὶ σὺ μὴ πάνυ ἐν τῷ θητικῷ ἐκκλησιάζουσα.
so-that be-content also you not very in the laborer-class holding-assembly

11 COLOSSUS ἐμοὶ δὲ τίς ἂν ἐρίσαι τολμήσειεν Ἡλίῳ τε ὄντι καὶ
with-me but who — to-contend would-dare Helios both being and
τηλικούτῳ τὸ μέγεθος; εἰ γοῦν μὴ ὑπερφυᾶ μηδὲ ὑπέρμετρον
so-great in-the size if at-least not monstrous nor over-sized
οἱ Ῥόδιοι κατασκευάσασθαί με ἠξίωσαν, ἀπὸ τοῦ ἴσου
the Rhodians to-construct me had-thought-fit from the equal
τελέσματος ἑκκαίδεκα χρυσοῦς θεοὺς ἐπεποίηντο ἄν· ὥστε
cost sixteen golden gods they-would-have-made — so-that
ἀνάλογον πολυτελέστερος ἂν νομιζοίμην. καὶ πρόσεστιν ἡ
proportionally more-costly — I-would-be-thought and is-added the
τέχνη καὶ τῆς ἐργασίας τὸ ἀκριβὲς ἐν μεγέθει τοσούτῳ.
art and of-the workmanship the exactness in size so-great
HERMES τί, ὦ Ζεῦ, χρὴ ποιεῖν; δύσκριτον γὰρ ἐμοὶ
what O Zeus is-it-needful to-do hard-to-judge for to-me
γοῦν τοῦτο· εἰ μὲν γὰρ ἐς τὴν ὕλην ἀποβλέποιμι,
at-least this if indeed for to the material I-should-look
χαλκοῦς ἐστιν, εἰ δὲ λογιζοίμην ἀφ' ὁπόσων ταλάντων
bronze he-is if but I-should-reckon from how-many talents
κεχάλκευται, ὑπὲρ τοὺς πεντακοσιομεδίμνους ἂν εἴη.
he-has-been-cast above the five-hundred-bushel-men — he-would-be
ZEUS τί γὰρ ἔδει παρεῖναι καὶ τοῦτον ἐλέγξοντα τὴν
why for was-it-needful to-be-present also this-one going-to-expose the
τῶν ἄλλων μικρότητα καὶ ἐνοχλήσοντα τῇ καθέδρᾳ; πλὴν
of-the others smallness and going-to-trouble the seating except
ἀλλ', ὦ Ῥοδίων ἄριστε, εἰ καὶ ὅτι μάλιστα προτιμητέος
but O of-Rhodians best if even as most to-be-preferred
εἶ τῶν χρυσῶν, πῶς ἂν καὶ προεδρεύοις, εἰ μὴ
you-are than-the golden how — also could-you-sit-in-front if not
δεήσει ἀναστῆναι πάντας ὡς μόνος καθέζοιο, τὴν
it-will-be-needful to-stand-up all so-that alone you-might-sit the

Πνύκα ὅλην θατέρᾳ τῶν πυγῶν ἐπιλαβών; ὥστε ἄμεινον
Pnyx whole with-one of-the buttocks having-taken-up so-that better
ποιήσεις ὀρθοστάδην ἐκκλησιάζων, ἐπικεκυφὼς τῷ συνεδρίῳ.
you-will-do standing-upright holding-assembly stooping-over the council
HERMES ἰδοὺ πάλιν ἄλλο δύσλυτον καὶ τοῦτο· χαλκῷ μὲν γὰρ 12
look again another hard-to-solve also this bronze indeed for
ἀμφοτέρω ἐστὸν καὶ τέχνης τῆς αὐτῆς, Λυσίππου ἑκάτερον
both are and of-art the same of-Lysippus each
τὸ ἔργον, καὶ τὸ μέγιστον, ὁμοτίμω τὰ ἐς γένος,
the work and the greatest of-equal-rank the-things as-to birth
ἅτε δὴ Διὸς παῖδε, ὁ Διόνυσος οὑτοσὶ καὶ Ἡρακλῆς.
as indeed of-Zeus two-sons — Dionysus this-here and Heracles
πότερος οὖν αὐτῶν προκαθίζει; φιλονεικοῦσι γάρ, ὡς ὁρᾷς.
which-of-the-two then of-them sits-in-front they-contend for as you-see
ZEUS διατρίβομεν, ὦ Ἑρμῆ, πάλαι δέον ἐκκλησιάζειν·
we-are-wasting-time O Hermes long-since it-being-needful to-hold-assembly
ὥστε νῦν μὲν ἀναμὶξ καθιζόντων, ἔνθ' ἂν ἕκαστος ἐθέλῃ,
so-that now indeed promiscuously let-them-sit where — each wishes
εἰσαῦθις δὲ ἀποδοθήσεται περὶ τούτων ἐκκλησία, κἀγὼ
another-time and will-be-given about these assembly and-I
εἴσομαι τότε ἥντινα χρὴ ποιήσασθαι τὴν τάξιν ἐπ' αὐτοῖς.
will-know then what it-is-needful to-make the order for them
HERMES ἀλλ', Ἡράκλεις, ὡς θορυβοῦσι τὰ κοινὰ καὶ τὰ 13
but Heracles how they-clamor the common-things and the
καθ' ἡμέραν ταῦτα βοῶντες, "διανομάς· ποῦ τὸ νέκταρ; ἡ
by day these shouting distributions where the nectar the
ἀμβροσία ἐπέλιπεν· ποῦ αἱ ἑκατόμβαι; κοινὰς τὰς θυσίας."
ambrosia has-run-out where the hecatombs common the sacrifices
ZEUS κατασιώπησον αὐτούς, ὦ Ἑρμῆ, ὡς μάθωσιν ὅτου
silence them O Hermes that they-may-learn of-what
ἕνεκα συνελέγησαν τοὺς λήρους τούτους ἀφέντες.
for-the-sake they-were-gathered the nonsense these having-let-go

HERMES οὐχ ἅπαντες, ὦ Ζεῦ, τὴν Ἑλλήνων φωνὴν συνιᾶσιν·
not all O Zeus the of-Greeks speech understand
ἐγὼ δὲ οὐ πολύγλωττός εἰμι, ὥστε καὶ Σκύθαις καὶ Πέρσαις
I and not many-tongued am so-as both to-Scythians and Persians
καὶ Θρᾳξὶν καὶ Κελτοῖς συνετὰ κηρύττειν. ἄμεινον οὖν,
and Thracians and Celts intelligible-things to-proclaim better then
οἶμαι, τῇ χειρὶ σημαίνειν καὶ παρακελεύεσθαι σιωπᾶν.
I-think with-the hand to-signal and to-urge to-be-silent
ZEUS οὕτω ποίει.
so do

14 HERMES εὖ γε, ἀφωνότεροι γεγένηνταί σοι τῶν
well at-least more-voiceless have-become for-you than-the
σοφιστῶν. ὥστε ὥρα δημηγορεῖν. ὁρᾷς; πάλαι πρὸς σὲ
sophists so-that time to-harangue you-see long-since toward you
ἀποβλέπουσι περιμένοντες ὅ τι καὶ ἐρεῖς.
they-look waiting what ever also you-will-say
ZEUS ἀλλ' ὅ γε πέπονθα, ὦ Ἑρμῆ, οὐκ ἂν ὀκνήσαιμι
but what at-least I-have-experienced O Hermes not — would-I-hesitate
πρὸς σὲ εἰπεῖν υἱὸν ὄντα. οἶσθα ὅπως θαρραλέος ἀεὶ
to you to-tell son being you-know how bold always
καὶ μεγαληγόρος ἐν ταῖς ἐκκλησίαις ἦν.
and grandiloquent in the assemblies I-was
HERMES οἶδα καὶ ἐδεδίειν γε ἀκούων σου δημηγοροῦντος,
I-know and I-used-to-fear at-least hearing you haranguing
καὶ μάλιστα ὁπότε ἠπείλεις ἀνασπάσειν ἐκ βάθρων
and most when you-threatened to-be-going-to-pull-up from foundations
τὴν γῆν καὶ τὴν θάλασσαν αὐτοῖς θεοῖς τὴν σειρὰν
the earth and the sea with-the-very gods the chain
ἐκείνην τὴν χρυσῆν καθείς.
that the golden having-let-down

ZEUS ἀλλὰ νῦν, ὦ τέκνον, οὐκ οἶδα εἴτε ὑπὸ τοῦ μεγέθους
but now O child not I-know whether by the greatness
τῶν ἐφεστώτων δεινῶν εἴτε καὶ ὑπὸ τοῦ πλήθους τῶν
of-the impending dangers or also by the multitude of-those
παρόντων — πολυθεωτάτη γάρ, ὡς ὁρᾷς, ἡ ἐκκλησία —
present fullest-of-gods for as you-see the assembly
διατετάραγμαι τὴν γνώμην καὶ ὑπότρομός εἰμι καὶ ἡ
I-am-confounded in-the mind and trembling am and the
γλῶττά μοι πεπεδημένη ἔοικε· τὸ δὲ ἀτοπώτατον ἁπάντων,
tongue for-me fettered seems the and most-absurd of-all
ἐπιλέλησμαι τὸ προοίμιον τῶν ὅλων, ὃ παρεσκευασάμην
I-have-forgotten the preamble of-the whole which I-had-prepared
ὡς εὐπροσωποτάτη μοι ἡ ἀρχὴ γένοιτο πρὸς αὐτούς.
that most-fair-seeming for-me the beginning might-be toward them
HERMES ἀπολώλεκας, ὦ Ζεῦ, ἅπαντα· οἱ δὲ ὑποπτεύουσι τὴν
you-have-ruined O Zeus all they and suspect the
σιωπὴν καί τι ὑπέρμεγα κακὸν ἀκούσεσθαι προσδοκῶσιν,
silence and some huge evil to-be-going-to-hear expect
ἐφ᾽ ὅτῳ σὺ διαμέλλεις.
for which you are-delaying
ZEUS βούλει οὖν, ὦ Ἑρμῆ, τὸ Ὁμηρικὸν ἐκεῖνο προοίμιον
do-you-wish then O Hermes the Homeric that preamble
ἀναρραψῳδήσω πρὸς αὐτούς;
I-may-recite to them
HERMES τὸ ποῖον;
the which

ZEUS κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι.
hear me all both gods all and goddesses

HERMES ἄπαγε, ἱκανῶς καὶ πρὸς ἡμᾶς πεπαρῴδηταί σοι
away sufficiently even to us has-been-parodied by-you
τὰ πρῶτα. πλὴν εἰ δοκεῖ, τὸ μὲν φορτικὸν τῶν μέτρων
the first-lines except if it-seems the indeed vulgar of-the meters
ἄφες, σὺ δὲ τῶν Δημοσθένους δημηγοριῶν τῶν κατὰ
let-go you but of-the of-Demosthenes harangues those against
Φιλίππου ἥντινα ἂν ἐθέλῃς σύνειρε, ὀλίγα ἐναλλάττων·
Philip whichever — you-wish string-together little altering
οὕτω γοῦν οἱ πολλοὶ νῦν ῥητορεύουσιν.
thus at-least the many now orate
ZEUS εὖ λέγεις ἐπίτομόν τινα ῥητορείαν καὶ ῥᾳδιουργίαν
well you-say short-cut some oratory and facility
ταύτην εὔκαιρον τοῖς ἀπορουμένοις.
this opportune for-those at-a-loss

III · ZEUS'S SPEECH

Zeus opens with Demosthenes' phrases. After Mnesitheus' stingy thank offering in the Piraeus, one old cock for sixteen gods, he went up to the city, and finding a crowd at the Painted Colonnade he disguised himself as a philosopher and heard Timocles and Damis arguing. Damis denied that the gods take thought for men and won the crowd, until Zeus had night fall and break up the meeting, the two agreeing to finish the next day. Since men are the gods' whole revenue, Zeus asks how to make Timocles win; Momus, given leave to speak frankly, says the gods brought this on themselves, for the good suffer and the wicked thrive.

15 HERMES ἄρξαι δ' οὖν ποτε.
begin but then at-last
ZEUS ἀντὶ πολλῶν ἄν, ὦ ἄνδρες θεοί, χρημάτων ὑμᾶς
instead-of much — O men gods money you
ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο ὑμῖν ὅ τι δή
to-choose I-think if plain should-become to-you what ever indeed

ποτε ἄρα τοῦτό ἐστιν ἐφ᾽ ὅτῳ νῦν συνελέγητε. ὅτε τοίνυν
ever then this is for which now you-were-gathered since then
τοῦτο οὕτως ἔχει, προσήκει προθύμως ἀκροᾶσθαί μου
this so is it-befits eagerly to-listen-to me
λέγοντος. ὁ μὲν οὖν παρὼν καιρός, ὦ θεοί, μονονουχὶ
speaking the indeed then present occasion O gods all-but
λέγει φωνὴν ἀφιεὶς ὅτι τῶν παρόντων ἐρρωμένως
says voice letting-go that the present-things vigorously
ἀντιληπτέον ἡμῖν ἐστιν, ἡμεῖς δὲ πάνυ ὀλιγώρως ἔχειν
one-must-take-hold-of for-us is we but very negligently to-be
δοκοῦμεν πρὸς αὐτά. βούλομαι δὲ ἤδη — καὶ γὰρ
seem toward them I-wish and now and for
ἐπιλείπει ὁ Δημοσθένης — αὐτὰ ὑμῖν δηλῶσαι σαφῶς,
fails — Demosthenes them to-you to-show clearly
ἐφ᾽ οἷς διαταραχθεὶς συνήγαγον τὴν ἐκκλησίαν.
at what having-been-troubled I-convened the assembly
χθὲς γάρ, ὡς ἴστε, Μνησιθέου τοῦ ναυκλήρου θύσαντος
yesterday for as you-know of-Mnesitheus the shipmaster having-sacrificed
τὰ σωτήρια ἐπὶ τῇ νηΐ ὀλίγου δεῖν ἀπολομένῃ περὶ
the thank-offerings for the ship little to-want having-perished about
τὸν Καφηρέα, εἱστιώμεθα ἐν Πειραιεῖ, ὁπόσους ἡμῶν ὁ
the Caphereus we-were-feasting in Piraeus as-many-as of-us —
Μνησίθεος ἐπὶ τὴν θυσίαν ἐκάλεσεν· εἶτα μετὰ τὰς σπονδὰς
Mnesitheus to the sacrifice invited then after the libations
ὑμεῖς μὲν ἄλλος ἄλλην ἐτράπεσθε, ὡς ἑκάστῳ ἔδοξεν, ἐγὼ
you indeed one another-way turned as to-each it-seemed I
δὲ — οὐδέπω γὰρ πάνυ ὀψὲ ἦν — ἀνῆλθον ἐς τὸ ἄστυ ὡς
but not-yet for very late was went-up to the city that
περιπατήσαιμι τὸ δειλινὸν ἐν Κεραμεικῷ, ἐννοῶν ἅμα
I-might-stroll the evening in Ceramicus considering at-the-same-time
τοῦ Μνησιθέου τὴν μικρολογίαν, ὃς ἑκκαίδεκα θεοὺς ἑστιῶν
— of-Mnesitheus the stinginess who sixteen gods feasting

ἀλεκτρυόνα μόνον κατέθυσε, γέροντα κἀκεῖνον ἤδη καὶ
cock only sacrificed old that-one-too already and
κορυζῶντα, καὶ λιβανωτοῦ χόνδρους τέτταρας εὖ μάλα
having-a-cold and of-frankincense grains four well very
εὐρωτιῶντας, ὡς αὐτίκα ἐπισβεσθῆναι τῷ ἄνθρακι, μηδὲ
moldy so-that at-once to-be-quenched on-the coal not-even
ὅσον ἄκρᾳ τῇ ῥινὶ ὀσφραίνεσθαι τοῦ καπνοῦ παρασχόντας,
as-much-as with-tip the nose to-smell the smoke allowing
καὶ ταῦτα ἑκατόμβας ὅλας ὑποσχόμενος ὁπότε ἡ ναῦς
and that hecatombs whole having-promised when the ship
ἤδη προσεφέρετο τῷ σκοπέλῳ καὶ ἐντὸς ἦν τῶν ἑρμάτων.
already was-being-carried to-the crag and within was the reefs
16 ἐπεὶ δὲ ταῦτα ἐννοῶν γίγνομαι κατὰ τὴν Ποικίλην,
when and these-things considering I-come at the Painted-Colonnade
ὁρῶ πλῆθος ἀνθρώπων πάμπολυ συνεστηκός, ἐνίους μὲν
I-see multitude of-men very-great standing-together some indeed
ἔνδον ἐν αὐτῇ τῇ στοᾷ, πολλοὺς δὲ καὶ ἐν τῷ ὑπαίθρῳ,
inside in itself the colonnade many and also in the open-air
καί τινας βοῶντας καὶ διατεινομένους ἐπὶ τῶν θάκων
and some shouting and straining on the seats
καθημένους. εἰκάσας οὖν ὅπερ ἦν, φιλοσόφους εἶναι
sitting having-guessed then which-very it-was philosophers to-be
τῶν ἐριστικῶν τούτων, ἐβουλήθην ἐπιστὰς ἀκοῦσαι
of-the disputatious these I-wished having-stood-by to-hear
αὐτῶν ὅ τι καὶ λέγουσι· καὶ — ἔτυχον γὰρ νεφέλην
them what ever also they-say and I-happened for cloud
τῶν παχειῶν περιβεβλημένος — σχηματίσας ἐμαυτὸν εἰς
of-the thick wrapped-in having-fashioned myself into
τὸν ἐκείνων τρόπον καὶ τὸν πώγωνα ἐπισπασάμενος εὖ
the of-those manner and the beard having-drawn-down well
μάλα ἐῴκειν φιλοσόφῳ· καὶ δὴ παραγκωνισάμενος τοὺς
very I-resembled philosopher and indeed having-elbowed-aside the

πολλοὺς εἰσέρχομαι ἀγνοούμενος ὅστις εἴην. εὑρίσκω τε
many I-enter unrecognized who I-was I-find both
τὸν Ἐπικούρειον Δᾶμιν, τὸν ἐπίτριπτον, καὶ Τιμοκλέα
the Epicurean Damis the damnable and Timocles
τὸν Στωϊκόν, ἀνδρῶν βέλτιστον, ἐκθύμως πάνυ ἐρίζοντας·
the Stoic of-men best furiously very quarreling
ὁ γοῦν Τιμοκλῆς καὶ ἵδρου καὶ τὴν φωνὴν ἤδη
— at-least Timocles both was-sweating and the voice already
ἐξεκέκοπτο ὑπὸ τῆς βοῆς, ὁ Δᾶμις δὲ τὸ σαρδάνιον
had-been-cut-off by the shouting — Damis but the sardonic
ἐπιγελῶν ἔτι μᾶλλον παρώξυνε τὸν Τιμοκλέα.
laughing-at still more provoked — Timocles
ἦν δὲ ἄρα περὶ ἡμῶν ὁ πᾶς λόγος αὐτοῖς· ὁ μὲν 17
was and then about us the whole argument for-them the indeed
γὰρ κατάρατος Δᾶμις οὔτε προνοεῖν ἡμᾶς ἔφασκε τῶν
for accursed Damis neither to-take-thought us claimed of-the
ἀνθρώπων οὔτ' ἐπισκοπεῖν τὰ γινόμενα παρ' αὐτοῖς,
men nor to-oversee the-things happening among them
οὐδὲν ἄλλο ἢ μηδὲ ὅλως ἡμᾶς εἶναι λέγων· τοῦτο
nothing else than not-even at-all us to-exist saying this
γὰρ αὐτῷ δηλαδὴ ὁ λόγος ἐδύνατο· καὶ ἦσάν τινες
for to-him plainly the argument meant and there-were some
οἳ ἐπῄνουν αὐτόν. ὁ δ' ἕτερος τὰ ἡμέτερα ὁ Τιμοκλῆς
who praised him the but other the our-side — Timocles
ἐφρόνει καὶ ὑπερεμάχει καὶ ἠγανάκτει καὶ πάντα τρόπον
favored and fought-for and was-indignant and every way
συνηγωνίζετο τὴν ἐπιμέλειαν ἡμῶν ἐπαινῶν καὶ διεξιὼν
fought-alongside the care our praising and going-through
ὡς ἐν κόσμῳ καὶ τάξει τῇ προσηκούσῃ ἐξηγούμεθα
how in order and arrangement the fitting we-guide
καὶ διατάττομεν ἕκαστα· καὶ εἶχε μέν τινας καὶ αὐτὸς
and arrange each and had indeed some also himself

τοὺς ἐπαινοῦντας. πλὴν — ἐκεκμήκει γὰρ ἤδη καὶ
those praising except he-was-tired for already and
πονήρως ἐφώνει καὶ τὸ πλῆθος εἰς τὸν Δᾶμιν ἀπέβλεπε—,
badly was-voiced and the multitude to — Damis looked
συνεὶς δὲ ἐγὼ τὸ κινδύνευμα τὴν νύκτα ἐκέλευσα
having-understood but I the danger the night I-bade
περιχυθεῖσαν διαλῦσαι τὴν συνουσίαν. ἀπῆλθον οὖν εἰς τὴν
having-spread-round to-break-up the meeting they-went-off then to the
ὑστεραίαν συνθέμενοι εἰς τέλος ἐπεξελεύσεσθαι τὸ σκέμμα,
next-day having-agreed to end to-be-going-to-pursue the inquiry
κἀγὼ παρομαρτῶν τοῖς πολλοῖς ἐπήκουον μεταξὺ ἀπιόντων
and-I accompanying the many listened meanwhile going-off
οἴκαδε παρ᾽ αὑτοὺς ἐπαινούντων τὰ τοῦ Δάμιδος καὶ
home to their-own praising the-things — of-Damis and
ἤδη παρὰ πολὺ αἱρουμένων τὰ ἐκείνου· ἦσαν δὲ καὶ
already by far choosing the-things of-that-one were and also
οἱ μὴ ἀξιοῦντες προκατεγνωκέναι τῶν ἐναντίων ἀλλὰ
those not thinking-fit to-have-prejudged the opponents but
περιμένειν εἴ τι καὶ ὁ Τιμοκλῆς αὔριον ἐρεῖ.
to-wait-for if anything also — Timocles tomorrow will-say
18 ταῦτ᾽ ἔστιν ἐφ᾽ οἷς ὑμᾶς συνεκάλεσα, οὐ μικρά, ὦ θεοί,
these-things are for which you I-called-together not small-things O gods
εἰ λογιεῖσθε ὡς ἡ πᾶσα μὲν ἡμῖν τιμὴ καὶ δόξα καὶ
if you-will-reckon that the whole indeed for-us honor and glory and
πρόσοδος οἱ ἄνθρωποί εἰσιν· εἰ δ᾽ οὗτοι πεισθεῖεν ἢ
revenue the men are if but these should-be-persuaded either
μηδὲ ὅλως θεοὺς εἶναι ἢ ὄντας ἀπρονοήτους εἶναι σφῶν
not-even at-all gods to-be or being uncaring to-be of-them
αὐτῶν, ἄθυτα καὶ ἀγέραστα καὶ ἀτίμητα ἡμῖν ἔσται
themselves without-sacrifice and without-honors and unprized for-us will-be
τὰ ἐκ γῆς καὶ μάτην ἐν οὐρανῷ καθεδούμεθα λιμῷ
the-things from earth and in-vain in heaven we-will-sit by-hunger

ἐχόμενοι, ἑορτῶν ἐκείνων καὶ πανηγύρεων καὶ ἀγώνων
held of-festivals those and assemblies and contests
καὶ θυσιῶν καὶ παννυχίδων καὶ πομπῶν στερούμενοι.
and sacrifices and night-festivals and processions being-deprived
ὡς οὖν ὑπὲρ τηλικούτων φημὶ δεῖν ἅπαντας ἐπινοεῖν
since then about so-great-things I-say it-is-needful all to-devise
τι σωτήριον τοῖς παροῦσι καὶ ἀφ' ὅτου κρατήσει μὲν
something saving for-the present-things and from which will-prevail indeed
ὁ Τιμοκλῆς καὶ δόξει ἀληθέστερα λέγειν, ὁ Δᾶμις δὲ
— Timocles and will-seem truer-things to-say — Damis but
καταγελασθήσεται πρὸς τῶν ἀκουόντων· ὡς ἔγωγε οὐ πάνυ
will-be-laughed-at by those hearing since I-at-least not very
τῷ Τιμοκλεῖ πέποιθα ὡς κρατήσει καθ' ἑαυτόν, ἢν μὴ καὶ
— in-Timocles trust that he-will-prevail by himself if not also
τὰ παρ' ἡμῶν αὐτῷ προσγένηται. κήρυττε οὖν, ὦ Ἑρμῆ,
the-things from us to-him are-added proclaim then O Hermes
τὸ κήρυγμα τὸ ἐκ τοῦ νόμου, ὡς ἀνιστάμενοι συμβουλεύοιεν.
the proclamation the from the law that standing-up they-may-give-counsel

HERMES ἄκουε, σίγα, μὴ τάραττε· τίς ἀγορεύειν βούλεται 19
hear silence do-not disturb who to-address wishes
τῶν τελείων θεῶν, οἷς ἔξεστι; τί τοῦτο; οὐδεὶς
of-the full-grown gods to-whom it-is-allowed what this no-one
ἀνίσταται, ἀλλ' ἡσυχάζετε πρὸς τὸ μέγεθος τῶν ἠγγελμένων
stands-up but you-keep-quiet at the greatness of-the things-announced
ἐκπεπληγμένοι;
struck-dumb

MOMUS ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε·
but you indeed all water and earth may-you-become
ἐγὼ δέ, εἴ γέ μοι μετὰ παρρησίας λέγειν δοθείη,
I but if at-least to-me with frankness to-speak it-should-be-granted
πολλὰ ἄν, ὦ Ζεῦ, ἔχοιμι εἰπεῖν.
many-things — O Zeus I-could to-say

ZEUS λέγε, ὦ Μῶμε, πάνυ θαρρῶν· δῆλος γὰρ εἶ ἐπὶ
speak O Momus very confidently plain for you-are for
τῷ συμφέροντι παρρησιασόμενος.
the advantage going-to-speak-freely

MOMUS οὐκοῦν ἀκούετε, ὦ θεοί, τά γε ἀπὸ καρδίας,
then hear O gods the-things at-least from heart
φασίν· ἐγὼ γὰρ καὶ πάνυ προσεδόκων ἐς τόδε ἀμηχανίας
as-they-say I for even very expected to this of-helplessness
περιστήσεσθαι τὰ ἡμέτερα καὶ πολλοὺς τοιούτους
to-be-going-to-come-round the our-affairs and many such
ἀναφύσεσθαι ἡμῖν σοφιστάς, παρ᾽ ἡμῶν αὐτῶν τὴν
to-be-going-to-sprout-up for-us sophists from us ourselves the
αἰτίαν τῆς τόλμης λαμβάνοντας· καὶ μὰ τὴν Θέμιν οὔτε
cause of-the daring taking and by — Themis neither
τῷ Ἐπικούρῳ ἄξιον ὀργίζεσθαι οὔτε τοῖς ὁμιληταῖς
— with-Epicurus worth to-be-angry nor with-the disciples
αὐτοῦ καὶ διαδόχοις τῶν λόγων, εἰ τοιαῦτα περὶ ἡμῶν
his and successors of-the doctrines if such-things about us
ὑπειλήφασιν. ἢ τί γὰρ αὐτοὺς ἀξιώσειέ τις ἂν φρονεῖν,
they-have-supposed or what for them would-expect anyone — to-think
ὁπόταν ὁρῶσι τοσαύτην ἐν τῷ βίῳ τὴν ταραχήν, καὶ
whenever they-see so-great in the life the confusion and
τοὺς μὲν χρηστοὺς αὐτῶν ἀμελουμένους, ἐν πενίᾳ καὶ
the indeed good of-them neglected in poverty and
νόσοις καὶ δουλείᾳ καταφθειρομένους, παμπονήρους δὲ καὶ
diseases and slavery wasting-away utterly-wicked but and
μιαροὺς ἀνθρώπους προτιμωμένους καὶ ὑπερπλουτοῦντας
foul men preferred and over-rich
καὶ ἐπιτάττοντας τοῖς κρείττοσι, καὶ τοὺς μὲν ἱεροσύλους
and commanding the better and the indeed temple-robbers

οὐ κολαζομένους ἀλλὰ διαλανθάνοντας, ἀνασκολοπιζομένους
not punished but escaping-notice impaled
δὲ καὶ τυμπανιζομένους ἐνίοτε τοὺς οὐδὲν ἀδικοῦντας;
but and cudgeled sometimes those nothing doing-wrong

IV · MOMUS AND POSEIDON

Momus says men doubt the gods with good reason: oracles are ambiguous, poets tell of gods who love, quarrel, and serve, and the gods have never troubled to tell good men from bad. Theseus cleared the road of brigands and Heracles the land of monsters, not providence. The gods care only for the savor of the altars. Poseidon proposes to remove Damis with a thunderbolt; Zeus answers that the Fates spin such deaths and that killing him would look like winning by default. Apollo offers to speak.

MOMUS εἰκότως τοίνυν ταῦτα ὁρῶντες οὕτω διανοοῦνται 20
reasonably then these-things seeing so they-think
περὶ ἡμῶν ὡς οὐδὲν ὅλως ὄντων, καὶ μάλιστα ὅταν
about us as nothing at-all being and most when
ἀκούωσι τῶν χρησμῶν λεγόντων, ὡς διαβάς τις τὸν
they-hear the oracles saying that having-crossed anyone the
Ἅλυν μεγάλην ἀρχὴν καταλύσει, οὐ μέντοι δηλούντων,
Halys great empire will-destroy not however making-clear
εἴτε τὴν αὑτοῦ εἴτε τὴν τῶν πολεμίων· καὶ πάλιν
whether the his-own or the of-the enemies and again

ὦ θείη Σαλαμίς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν.
O divine Salamis will-destroy and you children of-women

καὶ Πέρσαι γάρ, οἶμαι, καὶ Ἕλληνες γυναικῶν τέκνα
and Persians for I-think and Greeks of-women children
ἦσαν. ὅταν μὲν γὰρ τῶν ῥαψῳδῶν ἀκούωσιν, ὅτι καὶ
were when indeed for the rhapsodes they-hear that both
ἐρῶμεν καὶ τιτρωσκόμεθα καὶ δεσμούμεθα καὶ δουλεύομεν
we-love and are-wounded and are-bound and are-slaves
καὶ στασιάζομεν καὶ μυρία ὅσα πράγματα ἔχομεν, καὶ
and quarrel and countless how-many troubles we-have and
ταῦτα μακάριοι καὶ ἄφθαρτοι ἀξιοῦντες εἶναι, τί ἄλλο
that blessed and imperishable claiming to-be what else
ἢ δικαίως καταγελῶσι καὶ ἐν οὐδενὶ λόγῳ τίθενται τὰ
than justly they-laugh-at and in no account put the
ἡμέτερα; ἡμεῖς δὲ ἀγανακτοῦμεν, εἴ τινες ἄνθρωποι ὄντες
our-affairs we but are-indignant if some men being
οὐ πάνυ ἀνόητοι διελέγχουσι ταῦτα καὶ τὴν πρόνοιαν
not very foolish refute these-things and the providence
ἡμῶν παρωθοῦνται, δέον ἀγαπᾶν εἴ τινες ἡμῖν ἔτι
our push-aside it-being-needful to-be-content if some to-us still
θύουσι τοιαῦτα ἐξαμαρτάνουσιν.
sacrifice such-things erring

21 καί μοι ἐνταῦθα, ὦ Ζεῦ — μόνοι γάρ ἐσμεν καὶ
and for-me here O Zeus alone for we-are and
οὐδεὶς ἄνθρωπος πάρεστι τῷ συλλόγῳ ἔξω Ἡρακλέους
no man is-present at-the gathering except Heracles
καὶ Διονύσου καὶ Γανυμήδους καὶ Ἀσκληπιοῦ, τῶν
and Dionysus and Ganymede and Asclepius the
παρεγγράπτων τούτων — ἀπόκριναι μετ' ἀληθείας, εἴ ποτέ
enrolled-afterward these answer with truth if ever
σοι ἐμέλησεν ἐς τοσοῦτον τῶν ἐν τῇ γῇ, ὡς ἐξετάσαι
to-you it-mattered to so-much of-the-things on the earth as to-examine
οἵτινες αὐτῶν οἱ φαῦλοι ἢ οἵτινες οἱ χρηστοί εἰσιν· ἀλλ'
who of-them the bad or who the good are but

οὐκ ἂν εἴποις. εἰ γοῦν μὴ ὁ Θησεὺς ἐκ Τροιζῆνος
not — would-you-say if at-least not — Theseus from Troezen
εἰς Ἀθήνας ἰὼν ὁδοῦ πάρεργον ἐξέκοψε τοὺς κακούργους,
to Athens going of-road by-the-way cut-down the evildoers
ὅσον ἐπὶ σοὶ καὶ τῇ σῇ προνοίᾳ οὐδὲν ἂν ἐκώλυεν
as-far-as on you and the your providence nothing — would-have-prevented
ζῆν ἐντρυφῶντας ταῖς τῶν ὁδῷ βαδιζόντων σφαγαῖς τὸν
to-live reveling in-the of-those on-road walking slaughters —
Σκείρωνα καὶ Πιτυοκάμπτην καὶ Κερκυόνα καὶ τοὺς ἄλλους·
Sciron and Pityocamptes and Cercyon and the others
ἢ εἴ γε μὴ ὁ Εὐρυσθεύς, ἀνὴρ δίκαιος καὶ προνοητικός,
or if at-least not — Eurystheus man just and provident
ὑπὸ φιλανθρωπίας ἀναπυνθανόμενος τὰ παρ' ἑκάστοις
from humanity inquiring-into the-things among each
ἐξέπεμπε τουτονὶ τὸν οἰκέτην αὑτοῦ, ἐργατικὸν ἄνθρωπον
sent-out this-one-here the servant his-own laborious man
καὶ πρόθυμον εἰς τοὺς πόνους, ὦ Ζεῦ, σὺ ὀλίγον ἐφρόντισας
and eager for the labors O Zeus you little would-have-cared
ἂν τῆς Ὕδρας καὶ τῶν ἐν Στυμφάλῳ ὀρνέων καὶ ἵππων
— for-the Hydra and the in Stymphalus birds and horses
τῶν Θρᾳκίων καὶ τῆς Κενταύρων ὕβρεως καὶ παροινίας.
the Thracian and the of-Centaurs insolence and drunken-violence
ἀλλ' εἰ χρὴ τἀληθῆ λέγειν, καθήμεθα τοῦτο μόνον 22
but if it-is-needful the-truth to-say we-sit this only
ἐπιτηροῦντες, εἴ τις θύει καὶ κνισᾷ τοὺς βωμούς· τὰ δ'
watching-for if anyone sacrifices and fills-with-savor the altars the and
ἄλλα κατὰ ῥοῦν φέρεται ὡς ἂν τύχῃ ἕκαστον παρασυρόμενα.
rest with stream is-carried as — happens each swept-along
τοιγαροῦν εἰκότα νῦν πάσχομεν καὶ ἔτι πεισόμεθα, ἐπειδὰν
accordingly fitting-things now we-suffer and still will-suffer when
κατ' ὀλίγον οἱ ἄνθρωποι ἀνακύπτοντες εὑρίσκωσιν οὐδὲν
little-by little the men looking-up find no

ὄφελος αὐτοῖς ὄν, εἰ θύοιεν ἡμῖν καὶ τὰς πομπὰς
use to-them being if they-should-sacrifice to-us and the processions
πέμποιεν. εἶτ' ἐν βραχεῖ ὄψει καταγελῶντας τοὺς
should-send then in short-time you-will-see laughing-at the
Ἐπικούρους καὶ Μητροδώρους καὶ Δάμιδας, κρατουμένους δὲ
Epicuruses and Metrodoruses and Damises overpowered and
καὶ ἀποφραττομένους ὑπ' αὐτῶν τοὺς ἡμετέρους συνηγόρους·
also silenced by them the our advocates
ὥστε ὑμέτερον ἂν εἴη παύειν καὶ ἰᾶσθαι ταῦτα, τῶν
so-that yours — would-be to-stop and to-heal these-things of-those
καὶ ἐς τόδε αὐτὰ προαγαγόντων. Μώμῳ δὲ οὐ μέγας ὁ
also to this them having-brought to-Momus but not great the
κίνδυνος, εἰ ἄτιμος ἔσται· οὐδὲ γὰρ πάλαι τῶν τιμωμένων
danger if unhonored he-will-be not-even for long-ago of-the honored
ἦν, ὑμῶν ἔτι εὐτυχούντων καὶ τὰς θυσίας καρπουμένων.
I-was you still prospering and the sacrifices enjoying

23 ZEUS τοῦτον μέν, ὦ θεοί, ληρεῖν ἐάσωμεν ἀεὶ τραχὺν
this-one indeed O gods to-talk-nonsense let-us-allow always rough
ὄντα καὶ ἐπιτιμητικόν· ὡς γὰρ ὁ θαυμαστὸς Δημοσθένης
being and fault-finding as for the wonderful Demosthenes
ἔφη, τὸ μὲν ἐγκαλέσαι καὶ μέμψασθαι καὶ ἐπιτιμῆσαι ῥᾴδιον
said the indeed to-accuse and to-blame and to-censure easy
καὶ παντός, τὸ δὲ ὅπως τὰ παρόντα βελτίω γενήσεται
and of-anyone the but how the present-things better will-become
συμβουλεῦσαι, τοῦτ' ἔμφρονος ὡς ἀληθῶς συμβούλου· ὅπερ
to-advise this of-sensible as truly adviser which-very
οἱ ἄλλοι εὖ οἶδ' ὅτι ποιήσετε καὶ τούτου σιωπῶντος.
the others well I-know that you-will-do even this-one being-silent

24 POSEIDON ἐγὼ δὲ τὰ μὲν ἄλλα ὑποβρύχιός εἰμι, ὡς
I but the indeed other-things underwater am as
ἴστε, καὶ ἐν βυθῷ πολιτεύομαι κατ' ἐμαυτόν, εἰς ὅσον
you-know and in depth I-live-as-citizen by myself to as-far-as

ἐμοὶ δυνατὸν σώζων τοὺς πλέοντας καὶ παραπέμπων
to-me possible saving those sailing and escorting
τὰ πλοῖα καὶ τοὺς ἀνέμους καταμαλάττων· ὅμως δ᾽
the boats and the winds softening nevertheless and
οὖν — μέλει γάρ μοι καὶ τῶν ἐνταῦθα — φημὶ
anyway it-matters for to-me also of-the-things here I-say
δεῖν τὸν Δᾶμιν τοῦτον ἐκποδὼν ποιήσασθαι, πρὶν
to-be-needful — Damis this out-of-the-way to-make before
ἐπὶ τὴν ἔριν ἥκειν, ἤτοι κεραυνῷ ἤ τινι ἄλλῃ μηχανῇ,
to the contest to-come either by-thunderbolt or some other device
μὴ καὶ ὑπέρσχῃ λέγων — φὴς γάρ, ὦ Ζεῦ, πιθανόν
lest also be-prevail speaking you-say for O Zeus persuasive
τινα εἶναι αὐτόν· ἅμα γὰρ καὶ δείξομεν αὐτοῖς ὡς
some to-be him at-the-same-time for also we-will-show them how
μετερχόμεθα τοὺς τὰ τοιαῦτα καθ᾽ ἡμῶν διεξιόντας.
we-pursue those the such-things against us recounting
ZEUS παίζεις, ὦ Πόσειδον, ἢ τέλεον ἐπιλέλησαι ὡς οὐδὲν 25
you-jest O Poseidon or utterly have-you-forgotten that nothing
ἐφ᾽ ἡμῖν τῶν τοιούτων ἐστίν, ἀλλ᾽ αἱ Μοῖραι ἑκάστῳ
in us of-the such is but the Fates to-each
ἐπικλώθουσι, τὸν μὲν κεραυνῷ, τὸν δὲ ξίφει, τὸν
spin the(-one) indeed by-thunderbolt the(-other) and by-sword the(-other)
δὲ πυρετῷ ἢ φθόῃ ἀποθανεῖν; ἐπεὶ εἴ γέ μοι ἐπ᾽
and by-fever or consumption to-die since if at-least to-me in
ἐξουσίας τὸ πρᾶγμα ἦν, εἴασα ἄν, οἴει, τοὺς
power the matter was would-I-have-allowed — do-you-think the
ἱεροσύλους πρώην ἀπελθεῖν ἀκεραυνώτους ἐκ Πίσης δύο μου
temple-robbers lately to-go-away unthunderstruck from Pisa two of-me
τῶν πλοκάμων ἀποκείραντας ἓξ μνᾶς ἑκάτερον ἕλκοντας; ἢ
of-the locks having-shorn six minas each weighing or
σὺ αὐτὸς περιεῖδες ἂν ἐν Γεραιστῷ τὸν ἁλιέα τὸν ἐξ
you yourself would-have-overlooked — at Geraestus the fisherman the from

Ὠρεοῦ ὑφαιρούμενόν σου τὴν τρίαιναν; ἄλλως τε καὶ δόξομεν
Oreus stealing your the trident besides both also we-will-seem
ἀγανακτεῖν λελυπημένοι τῷ πράγματι καὶ δεδιέναι τοὺς
to-be-indignant grieved by-the matter and to-fear the
παρὰ τοῦ Δάμιδος λόγους καὶ δι' αὐτὸ ἀποσκευάζεσθαι
from — Damis arguments and because-of this-very to-make-away-with
τὸν ἄνδρα, οὐ περιμείναντες ἀντεξετασθῆναι αὐτὸν τῷ
the man not having-waited to-be-matched him —
Τιμοκλεῖ. ὥστε τί ἄλλο ἢ ἐξ ἐρήμης κρατεῖν οὕτω δόξομεν;
with-Timocles so-that what else than by default to-win so we-will-seem
POSEIDON καὶ μὴν ἐπίτομόν τινα ταύτην ᾠμην ἐπινενοηκέναι
and truly short-cut some this I-thought to-have-devised
ἔγωγε πρὸς τὴν νίκην.
I-at-least toward the victory
ZEUS ἄπαγε, θυννῶδες τὸ ἐνθύμημα, ὦ Πόσειδον, καὶ κομιδῇ
away tunny-like the notion O Poseidon and utterly
παχύ, προαναιρήσειν τὸν ἀνταγωνιστὴν ὡς ἀποθάνοι
thick to-be-going-to-destroy-first the opponent so-that he-would-die
ἀήττητος, ἀμφήριστον ἔτι καὶ ἀδιάκριτον καταλιπὼν τὸν
undefeated disputed still and undecided having-left the
λόγον.
argument
POSEIDON οὐκοῦν ἄμεινόν τι ὑμεῖς ἄλλο ἐπινοεῖτε, εἰ
then better something you other devise if
τἀμὰ οὕτως ὑμῖν ἀποτεθύννισται.
my-things so by-you have-been-tunnied
26 APOLLO εἰ καὶ τοῖς νέοις ἔτι καὶ ἀγενείοις ἡμῖν ἐφεῖτο
if even to-the young still and beardless to-us it-were-permitted
ἐκ τοῦ νόμου δημηγορεῖν, ἴσως ἂν εἶπόν τι
from the law to-address-the-assembly perhaps — I-would-have-said something
συμφέρον εἰς τὴν διάσκεψιν.
useful for the deliberation

MOMUS ἡ μὲν σκέψις, ὦ Ἄπολλον, οὕτω περὶ μεγάλων,
the indeed inquiry O Apollo so about great-things
ὥστε μὴ καθ' ἡλικίαν, ἀλλὰ κοινὸν ἅπασι προκεῖσθαι τὸν
so-that not by age but common to-all to-be-set-before the
λόγον· χάριεν γάρ, εἰ περὶ τῶν ἐσχάτων κινδυνεύοντες
speech charming for if about the uttermost being-in-danger
περὶ τῆς ἐν τοῖς νόμοις ἐξουσίας μικρολογούμεθα. σὺ δὲ
about the in the laws authority we-quibble you but
καὶ πάνυ ἤδη ἔννομος εἶ δημηγόρος, πρόπαλαι μὲν ἐξ
even very already lawful are speaker long-ago indeed out-of
ἐφήβων γεγονώς, ἐγγεγραμμένος δὲ ἐς τὸ τῶν δώδεκα
youths having-become enrolled and in the of-the twelve
ληξιαρχικόν, καὶ ὀλίγου δεῖν τῆς ἐπὶ Κρόνου βουλῆς
register and little to-want of-the in-time-of Cronus council
ὤν· ὥστε μὴ μειρακιεύου πρὸς ἡμᾶς, ἀλλὰ λέγε θαρρῶν
being so-that do-not act-the-boy toward us but say confidently
ἤδη τὰ δοκοῦντα, μηδὲν αἰδεσθεὶς εἰ ἀγένειος ὢν
now the-things seeming-good nothing ashamed if beardless being
δημηγορήσεις, καὶ ταῦτα βαθυπώγωνα καὶ εὐγένειον
you-will-address-the-assembly and that deep-bearded and well-bearded
οὕτως υἱὸν ἔχων τὸν Ἀσκληπιόν. ἄλλως τε καὶ πρέπον ἂν
so son having — Asclepius besides both also fitting —
εἴη σοι νῦν μάλιστα ἐκφαίνειν τὴν σοφίαν, εἰ μὴ μάτην
would-be for-you now most to-display the wisdom if not in-vain
ἐν τῷ Ἑλικῶνι κάθησαι ταῖς Μούσαις συμφιλοσοφῶν.
on the Helicon you-sit with-the Muses philosophizing-together
APOLLO ἀλλ' οὐ σέ, ὦ Μῶμε, χρὴ τὰ τοιαῦτα ἐφιέναι,
but not you O Momus it-is-needful the such-things to-permit
τὸν Δία δέ· καὶ ἢν οὗτος κελεύσῃ, τάχ' ἄν τι οὐκ
— Zeus but and if this-one bids perhaps — something not
ἄμουσον εἴποιμι ἀλλὰ τῆς ἐν τῷ Ἑλικῶνι μελέτης ἄξιον.
unmusical I-would-say but of-the on the Helicon practice worthy

ZEUS λέγε, ὦ τέκνον· ἐφίημι γάρ.
speak O child I-permit for

V · APOLLO'S ORACLE

Apollo says Timocles is good and learned but speaks badly, and proposes an advocate for him; Momus mocks the plan. Momus challenges Apollo to prophesy who will win, and Apollo delivers a riddling oracle of vultures, crows, mules, and an ass, which Momus reads plainly: Apollo is a charlatan, and his believers are asses and mules. Heracles offers to shake the Painted Colonnade down on Damis, but Zeus reminds him that only the Fates decide such things; Heracles threatens to leave for Hades, and Zeus says he has argued Damis's case.

27 APOLLO ὁ Τιμοκλῆς οὗτος ἔστι μὲν χρηστὸς ἀνὴρ καὶ
— *Timocles this-one is indeed good man and*
φιλόθεος καὶ τοὺς λόγους πάνυ ἠκρίβωκε τοὺς Στωϊκούς·
god-loving and the doctrines very has-mastered the Stoic
ὥστε καὶ σύνεστιν ἐπὶ σοφίᾳ πολλοῖς τῶν νέων καὶ μισθοὺς
so-that also he-associates for wisdom with-many of-the young and fees
οὐκ ὀλίγους ἐπὶ τούτῳ ἐκλέγει, σφόδρα πιθανὸς ὢν ὁπότε
not few for this collects very persuasive being whenever
ἰδίᾳ τοῖς μαθηταῖς διαλέγοιτο· ἐν πλήθει δὲ εἰπεῖν
privately with-the pupils he-should-converse in multitude but to-speak
ἀτολμότατός ἐστι καὶ τὴν φωνὴν ἰδιώτης καὶ μιξοβάρβαρος,
most-timid he-is and in-the voice unskilled and half-barbarous
ὥστε γέλωτα ὀφλισκάνειν διὰ τοῦτο ἐν ταῖς συνουσίαις,
so-that laughter to-incur because-of this in the meetings
οὐ συνείρων ἀλλὰ βατταρίζων καὶ ταραττόμενος,
not stringing-together but stammering and being-confused
καὶ μάλιστα ὁπόταν οὕτως ἔχων καὶ καλλιρρημοσύνην
and most whenever so being also eloquence

ἐπιδείκνυσθαι βούληται. συνεῖναι μὲν γὰρ εἰς ὑπερβολὴν
to-display he-wishes to-understand indeed for to excess
ὀξύς ἐστι καὶ λεπτογνώμων, ὥς φασιν οἱ ἄμεινον τὰ
sharp he-is and subtle-minded as say those better the-things
τῶν Στωϊκῶν εἰδότες, λέγων δὲ καὶ ἑρμηνεύων ὑπ᾽
of-the Stoics knowing speaking but and expounding from
ἀσθενείας διαφθείρει αὐτὰ καὶ συγχεῖ, οὐκ ἀποσαφῶν
weakness he-ruins them and confounds not making-clear
ὅ τι βούλεται ἀλλὰ αἰνίγμασιν ἐοικότα προτείνων
what ever he-means but to-riddles like-things putting-forward
καὶ πάλιν αὖ πολὺ ἀσαφέστερα πρὸς τὰς ἐρωτήσεις
and again in-turn much more-obscure-things to the questions
ἀποκρινόμενος· οἱ δὲ οὐ συνιέντες καταγελῶσιν αὐτοῦ.
answering they and not understanding laugh-at him
δεῖ δὲ οἶμαι σαφῶς λέγειν καὶ τούτου μάλιστα πολλὴν
it-is-needful but I-think clearly to-speak and of-this most much
ποιεῖσθαι τὴν πρόνοιαν, ὡς συνήσουσιν οἱ ἀκούοντες.
to-make the forethought that will-understand those hearing
MOMUS τοῦτο μὲν ὀρθῶς ἔλεξας, ὦ Ἄπολλον, ἐπαινέσας 28
this indeed rightly you-said O Apollo having-praised
τοὺς σαφῶς λέγοντας, εἰ καὶ μὴ πάνυ ποιεῖς αὐτὸ σὺ
those clearly speaking if even not very do it you
ἐν τοῖς χρησμοῖς λοξὸς ὢν καὶ γριφώδης καὶ ἐς τὸ
in the oracles crooked being and riddling and into the
μεταίχμιον ἀσφαλῶς ἀπορρίπτων τὰ πολλά, ὡς τοὺς
no-man's-land safely throwing-off the most-part so-that those
ἀκούοντας ἄλλου δεῖσθαι Πυθίου πρὸς τὴν ἐξήγησιν
hearing of-another to-need Pythian for the interpretation
αὐτῶν. ἀτὰρ τί τὸ ἐπὶ τούτῳ συμβουλεύεις; τίνα ἴασιν
of-them but what the-thing for this do-you-advise what cure
ποιήσασθαι τῆς Τιμοκλέους ἀδυναμίας ἐν τοῖς λόγοις;
to-make of-the of-Timocles inability in the arguments

29 APOLLO συνήγορον, ὦ Μῶμε, εἴ πως δυνηθείημεν, αὐτῷ
advocate O Momus if somehow we-could to-him
παρασχεῖν ἄλλον τῶν δεινῶν τούτων, ἐροῦντα κατ᾽
to-provide another of-the clever these going-to-say according-to
ἀξίαν ἅπερ ἂν ἐκεῖνος ἐνθυμηθεὶς ὑποβάλῃ.
worth what-very — that-one having-conceived may-prompt
MOMUS ἀγένειον τοῦτο ὡς ἀληθῶς εἴρηκας, ἔτι παιδαγωγοῦ
beardless this as truly you-have-said still of-tutor
τινος δεόμενον, συνήγορον ἐν συνουσίᾳ φιλοσόφων
some needing advocate in meeting of-philosophers
παραστήσασθαι ἑρμηνεύσοντα πρὸς τοὺς παρόντας ἅπερ
to-set-beside going-to-interpret to those present what-very
ἂν δοκῇ Τιμοκλεῖ, καὶ τὸν μὲν Δᾶμιν αὐτοπρόσωπον
— seems-good to-Timocles and — indeed Damis in-person
καὶ δι᾽ αὑτοῦ λέγειν, τὸν δὲ ὑποκριτῇ προσχρώμενον
and through himself to-speak the(-other) and an-actor using
ἰδίᾳ πρὸς τὸ οὖς ἐκείνῳ ὑποβάλλειν τὰ δοκοῦντα,
privately to the ear to-that-one to-prompt the-things seeming-good
τὸν ὑποκριτὴν δὲ ῥητορεύειν, οὐδ᾽ αὐτὸν ἴσως συνιέντα
the actor and to-orate not-even himself perhaps understanding
ὅ τι ἀκούσειε. ταῦτα πῶς οὐ γέλως ἂν εἴη τῷ
what ever he-heard these-things how not laughter — would-be to-the
πλήθει; ἀλλὰ τοῦτο μὲν ἄλλως ἐπινοήσωμεν.
multitude but this indeed otherwise let-us-devise
30 σὺ δέ, ὦ θαυμάσιε — φὴς γὰρ καὶ μάντις εἶναι καὶ
you but O marvelous-one you-claim for also prophet to-be and
μισθοὺς οὐκ ὀλίγους ἐπὶ τῷ τοιούτῳ ἐξέλεξας ἄχρι τοῦ
fees not few for the such collected as-far-as the
καὶ πλίνθους χρυσᾶς ποτε εἰληφέναι — τί οὐκ ἐπεδείξω
even bricks golden once to-have-received why not did-you-display
ἡμῖν κατὰ καιρὸν τὴν τέχνην προειπὼν ὁπότερος
to-us at the-right-moment the art having-foretold which-of-the-two

τῶν σοφιστῶν κρατήσει λέγων; οἶσθα γάρ που τὸ
of-the sophists will-prevail speaking you-know for surely the-thing
ἀποβησόμενον μάντις ὤν.
going-to-result prophet being
APOLLO πῶς, ὦ Μῶμε, δυνατὸν ποιεῖν ταῦτα μήτε τρίποδος
how O Momus possible to-do these-things neither tripod
ἡμῖν παρόντος μήτε θυμιαμάτων ἢ πηγῆς μαντικῆς οἵα
to-us being-present nor incense or spring prophetic such-as
ἡ Κασταλία ἐστίν;
— Castalia is
MOMUS ὁρᾷς; ἀποδιδράσκεις τὸν ἔλεγχον ἐν στενῷ ἐχόμενος.
you-see you-run-away-from the test in strait held
ZEUS ὅμως, ὦ τέκνον, εἰπὲ καὶ μὴ παράσχῃς τῷ
nevertheless O child speak and do-not give to-the
συκοφάντῃ τούτῳ ἀφορμὰς διαβάλλειν καὶ χλευάζειν τὰ
slanderer this occasions to-slander and to-mock the
σὰ ὡς ἐπὶ τρίποδι καὶ ὕδατι καὶ λιβανωτῷ κείμενα,
your-things as on tripod and water and frankincense lying
ὡς, εἰ μὴ ἔχοις ταῦτα, στερησόμενόν σε τῆς τέχνης.
as if not you-should-have these-things going-to-be-deprived you of-the art
APOLLO ἄμεινον μὲν ἦν, ὦ πάτερ, ἐν Δελφοῖς ἢ
better indeed it-were O father in Delphi or
Κολοφῶνι τὰ τοιαῦτα ποιεῖν, ἁπάντων μοι τῶν χρησίμων
Colophon the such-things to-do all for-me the useful-things
παρόντων, ὡς ἔθος. ὅμως δὲ καὶ οὕτω γυμνὸς ἐκείνων
being-present as custom nevertheless but even so stripped of-those
καὶ ἄσκευος πειράσομαι προειπεῖν ὁποτέρου τὸ κράτος
and unequipped I-will-try to-foretell of-which-of-the-two the victory
ἔσται· ἀνέξεσθε δέ, εἰ μὴ ἔμμετρα λέγοιμι.
will-be you-will-bear-with and if not in-meter I-should-speak

MOMUS λέγε μόνον, σαφῆ δέ, ὦ Ἄπολλον, καὶ οὐ
speak only clear-things but O Apollo and not
συνηγόρου καὶ αὐτὰ ἢ ἑρμηνέως δεόμενα· καὶ γὰρ οὐκ
of-advocate also themselves or of-interpreter needing and for not
ἄρνεια κρέα καὶ χελώνη νῦν ἐν Λυδίᾳ συνέψεται·
lamb's flesh and tortoise now in Lydia is-being-boiled-together
ἀλλὰ οἶσθα περὶ ὅτου ἡ σκέψις.
but you-know about what the inquiry
ZEUS τί ποτε ἐρεῖς, ὦ τέκνον; ὡς τά γε πρὸ
what ever will-you-say O child how the-things at-least before
τοῦ χρησμοῦ ταῦτα ἤδη φοβερά· ἡ χρόα τετραμμένη,
the oracle these already frightening the color turned
οἱ ὀφθαλμοὶ περιφερεῖς, κόμη ἀνασοβουμένη, κίνημα
the eyes rolling hair tossed-up movement
κορυβαντῶδες, καὶ ὅλως κατόχιμα πάντα καὶ φρικώδη
corybantic and altogether possessed all and shuddering
καὶ μυστικά.
and mystic

31 APOLLO κέκλυτε μαντιπόλου τόδε θέσφατον Ἀπόλλωνος
hear of-prophetic this oracle of-Apollo
ἀμφ' ἔριδος κρυερῆς, τὴν ἀνέρες ἐστήσαντο
about strife chilly which men have-set-up
ὀξυβόαι, μύθοισι κορυσσόμενοι πυκινοῖσι.
shrill-shouting with-words armed close-packed
πολλὰ γὰρ ἔνθα καὶ ἔνθα μόθου ἑτεραλκέϊ κλωγμῷ
many for here and there of-battle with-alternately-strong clatter
ταρφέος ἄκρα κόρυμβα καταπλήσσουσιν ἐχέτλης.
of-frequent topmost ends they-strike of-the-plow-handle

ἀλλ᾽ ὅταν αἰγυπιὸς γαμψώνυχος ἀκρίδα μάρψῃ,
but when vulture crook-taloned grasshopper seizes
δὴ τότε λοίσθιον ὀμβροφόροι κλάγξουσι κορῶναι.
indeed then last rain-bringing will-croak crows
νίκη δ᾽ ἡμιόνων, ὁ δ᾽ ὄνος θοὰ τέκνα κορύψει.
victory and of-mules the and ass swift offspring will-butt

ZEUS τί τοῦτο ἀνεκάγχασας, ὦ Μῶμε; καὶ μὴν οὐ
why this did-you-burst-out-laughing O Momus and indeed not
γελοῖα τὰ ἐν ποσί· παῦσαι κακόδαιμον, ἀποπνιγήσῃ
laughable the-things at feet stop wretch you-will-be-choked
ὑπὸ τοῦ γέλωτος.
by the laughter
MOMUS καὶ πῶς δυνατόν, ὦ Ζεῦ, ἐφ᾽ οὕτω σαφεῖ καὶ
and how possible O Zeus at so clear and
προδήλῳ τῷ χρησμῷ;
evident the oracle
ZEUS οὐκοῦν καὶ ἡμῖν ἤδη ἑρμηνεύοις ἂν αὐτὸν ὅ τι
then also to-us now you-would-interpret — it what ever
καὶ λέγει.
also it-says
MOMUS πάνυ πρόδηλα, ὥστε οὐδὲν ἡμῖν Θεμιστοκλέους
very evident-things so-that nothing to-us of-Themistocles
δεήσει· φησὶ γὰρ τὸ λόγιον οὑτωσὶ διαρρήδην γόητα
will-be-needed says for the oracle thus expressly charlatan
μὲν εἶναι τοῦτον, ὑμᾶς δὲ ὄνους κανθηλίους νὴ Δία
indeed to-be this-one you but asses pack-asses by Zeus
καὶ ἡμιόνους, τοὺς πιστεύοντας αὐτῷ, οὐδ᾽ ὅσον αἱ
and mules those believing him not-even as-much-as the
ἀκρίδες τὸν νοῦν ἔχοντας.
grasshoppers the sense having

32 HERACLES ἐγὼ δέ, ὦ πάτερ, εἰ καὶ μέτοικός εἰμι, οὐκ
I but O father if even alien I-am not
ὀκνήσω ὅμως τὰ δοκοῦντά μοι εἰπεῖν· ὁπόταν
I-will-hesitate nevertheless the-things seeming-good to-me to-say when
γὰρ ἤδη συνελθόντες διαλέγωνται, τηνικαῦτα, ἢν μὲν
for now having-met they-converse then if indeed
ὁ Τιμοκλῆς ὑπέρσχῃ, ἐάσωμεν προχωρεῖν τὴν συνουσίαν
— Timocles prevails let-us-allow to-proceed the meeting
ὑπὲρ ἡμῶν, ἢν δέ τι ἑτεροῖον ἀποβαίνῃ, τότε ἤδη
on-behalf-of us if but something different results then at-once
τὴν στοὰν αὐτὴν ἔγωγε, εἰ δοκεῖ, διασείσας ἐμβαλῶ
the colonnade itself I if it-seems having-shaken-loose will-throw-on
τῷ Δάμιδι, ὡς μὴ κατάρατος ὢν ὑβρίζῃ ἐς ἡμᾶς.
— Damis that not accursed being he-may-be-insolent to us
ZEUS Ἡράκλεις, ὦ Ἡράκλεις, ἄγροικον τοῦτο εἴρηκας καὶ
Heracles O Heracles boorish this you-have-said and
δεινῶς Βοιώτιον, συναπολέσαι ἑνὶ πονηρῷ τοσούτους
terribly Boeotian to-destroy-together-with one wicked so-many
χρηστούς, καὶ προσέτι τὴν στοὰν αὐτῷ Μαραθῶνι
good and besides the colonnade with-its-very Marathon
καὶ Μιλτιάδῃ καὶ Κυνεγείρῳ. καὶ πῶς ἂν τούτων
and Miltiades and Cynegirus and how — these
συνεμπεσόντων οἱ ῥήτορες ἔτι ῥητορεύοιεν, τὴν μεγίστην
having-collapsed the orators still could-orate the greatest
εἰς τοὺς λόγους ὑπόθεσιν ἀφῃρημένοι; ἄλλως τε ζῶντι
for the speeches subject having-been-robbed-of besides both living
μέν σοι δυνατὸν ἴσως ἦν τι πρᾶξαι τοιοῦτον, ἀφ᾽
indeed for-you possible perhaps it-was something to-do such from
οὗ δὲ θεὸς γεγένησαι, μεμάθηκας, οἶμαι, ὡς αἱ Μοῖραι
which but god you-have-become you-have-learned I-think that the Fates
μόναι τὰ τοιαῦτα δύνανται, ἡμεῖς δὲ αὐτῶν ἄμοιροί ἐσμεν.
alone the such-things can we but of-them without-share are

HERACLES οὐκοῦν καὶ ὁπότε τὸν λέοντα ἢ τὴν ὕδραν
then also when the lion or the hydra
ἐφόνευον, αἱ Μοῖραι δι' ἐμοῦ ἐκεῖνα ἔπραττον;
I-slew the Fates through me those-things did
ZEUS καὶ μάλα.
and certainly
HERACLES καὶ νῦν ἤν τις ὑβρίζῃ εἰς ἐμὲ ἢ περισυλῶν
and now if anyone is-insolent to me either despoiling
μου τὸν νεὼν ἢ ἀνατρέπων τὸ ἄγαλμα, ἢν μὴ ταῖς
my the temple or overturning the statue if not by-the
Μοίραις πάλαι δεδογμένον ᾖ, οὐκ ἐπιτρίψω αὐτόν;
Fates long-ago decided it-be not will-I-crush him
ZEUS οὐδαμῶς.
by-no-means
HERACLES οὐκοῦν ἄκουσον, ὦ Ζεῦ, μετὰ παρρησίας· ἐγὼ
then hear O Zeus with frankness I
γάρ, ὡς ὁ κωμικὸς ἔφη,
for as the comic-poet said

ἄγροικός εἰμι τὴν σκάφην σκάφην λέγων·
boor I-am the tub tub calling

εἰ τοιαῦτά ἐστι τὰ ὑμέτερα, μακρὰ χαίρειν φράσας ταῖς
if such is the yours long farewell having-bid to-the
ἐνταῦθα τιμαῖς καὶ κνίσῃ καὶ ἱερείων αἵματι κάτειμι
here honors and savor and of-victims blood I-will-go-down
εἰς τὸν Ἅιδην, ὅπου με γυμνὸν τὸ τόξον ἔχοντα κἂν τὰ
to — Hades where me bare the bow having even the
εἴδωλα φοβήσεται τῶν ὑπ' ἐμοῦ πεφονευμένων θηρίων.
phantoms will-fear of-the by me slain beasts

ZEUS εὖ γε, οἴκοθεν ὁ μάρτυς, φασίν· ἀπέσωσάς
well at-least from-home the witness as-they-say you-would-have-saved
γ' ἂν οὖν τῷ Δάμιδι ταῦτα εἰπεῖν ὑποβαλών.
at-least — then — to-Damis these-things to-say having-prompted

VI · THE DEBATE BEGINS

The bronze Hermes of the marketplace reports in tragic verse that the debate has started, and Zeus bids the Hours open the gates of heaven so the gods can listen. Timocles opens with abuse, and the two wrangle over who answers first. Damis says all things move at random and the gods, abroad among the Ethiopians, have not even punished Timocles' perjuries. Timocles points to the order of sun, moon, and seasons; Damis answers that he calls necessity order. Timocles appeals to Homer, and Damis recalls Homer's gods plotting against Zeus and wounded by men.

33 ZEUS ἀλλὰ τίς ὁ σπουδῇ προσιὼν οὗτός ἐστιν, ὁ
but who the(-one) in-haste approaching this-one is the
χαλκοῦς, ὁ εὔγραμμος καὶ εὐπερίγραφος, ὁ ἀρχαῖος τὴν
bronze the well-lined and well-outlined the old-fashioned in-the
ἀνάδεσιν τῆς κόμης; μᾶλλον δὲ ὁ σός, ὦ Ἑρμῆ, ἀδελφός
binding-up of-the hair rather but the your O Hermes brother
ἐστιν, ὁ ἀγοραῖος, ὁ παρὰ τὴν Ποικίλην· πίττης
is the of-the-market-place the(-one) by the Painted-Colonnade with-pitch
γοῦν ἀναπέπλησται ὁσημέραι ἐκματτόμενος ὑπὸ τῶν
at-least he-is-smeared every-day being-cast by the
ἀνδριαντοποιῶν. τί, ὦ παῖ, δρομαῖος ἡμῖν ἀφῖξαι; ἦ
sculptors why O boy running to-us have-you-come truly
πού τι ἐκ γῆς νεώτερον ἀπαγγέλλεις;
I-suppose something from earth newer you-report
HERMAG. ὑπέρμεγα, ὦ Ζεῦ, καὶ μυρίας τῆς σπουδῆς δεόμενον.
huge O Zeus and countless the haste needing

ZEUS λέγε ἤδη, εἴ τι καὶ ἄλλο ἡμᾶς ἐπανιστάμενον
tell now if anything also other us rising-against
λέληθεν.
has-escaped-notice

HERMAG. ἐτύγχανον μὲν ἄρτι χαλκουργῶν ὕπο
I-happened indeed just-now bronze-smiths by
πιττούμενος στέρνον τε καὶ μετάφρενον·
being-pitched chest both and back
θώραξ δέ μοι γελοῖος ἀμφὶ σώματι
breastplate and for-me ridiculous about body
πλασθεὶς παρῃώρητο μιμηλῇ τέχνῃ
molded hung with-imitative art
σφραγῖδα χαλκοῦ πᾶσαν ἐκτυπούμενος·
seal of-bronze whole taking-the-impression
ὁρῶ δ' ὄχλον στείχοντα καί τινας δύο
I-see and crowd going and some two
ὠχροὺς κεκράκτας, πυγμάχους σοφισμάτων,
pale screamers boxers of-sophistries
Δᾶμίν τε καὶ —
Damis both and

ZEUS παῦε, ὦ Ἑρμαγόρα βέλτιστε, τραγῳδῶν· οἶδα γὰρ
stop O Hermagoras best tragedizing I-know for
οὕστινας λέγεις. ἀλλ' ἐκεῖνό μοι φράσον, εἰ πάλαι
whom you-mean but that to-me tell whether long-ago
συγκροτεῖται αὐτοῖς ἡ ἔρις.
is-joined for-them the strife
HERMAG. οὐ πάνυ, ἀλλ' ἐν ἀκροβολισμοῖς ἔτι ἦσαν
not very but in skirmishes still they-were
ἀποσφενδονῶντες ἀλλήλοις πόρρωθέν ποθεν λοιδορούμενοι.
slinging at-one-another from-afar somewhere reviling

ZEUS τί οὖν ἔτι ποιεῖν λοιπόν, ὦ θεοί, ἢ ἀκροάσασθαι
what then still to-do remaining O gods than to-listen
ἐπικύψαντας αὐτῶν; ὥστε ἀφαιρείτωσαν αἱ Ὧραι τὸν
leaning-over them so-that let-remove the Hours the
μοχλὸν ἤδη καὶ ἀπάγουσαι τὰ νέφη ἀναπετεννύτωσαν
bar now and leading-away the clouds let-open-wide
τὰς πύλας τοῦ οὐρανοῦ.
the gates of-the heaven

34 Ἡράκλεις, ὅσον τὸ πλῆθος ἐπὶ τὴν ἀκρόασιν ἀπηντήκασιν.
Heracles how-great the multitude to the hearing have-come-to-meet
ὁ δὲ Τιμοκλῆς αὐτὸς οὐ πάνυ μοι ἀρέσκει ὑποτρέμων
— but Timocles himself not very me pleases trembling
καὶ ταραττόμενος· ἀπολεῖ ἅπαντα οὗτος τήμερον· δῆλος
and being-confused he-will-ruin all this-one today plain
γοῦν ἐστιν οὐδὲ ἀντάρασθαι τῷ Δάμιδι δυνησόμενος.
at-least he-is not-even to-raise-against — Damis going-to-be-able
ἀλλ' ὅπερ ἡμῖν δυνατώτατον, εὐχώμεθα ὑπὲρ αὐτοῦ
but which-very for-us most-possible let-us-pray for him

σιγῇ ἐφ' ἡμείων, ἵνα μὴ Δᾶμίς γε πύθηται.
in-silence to ourselves that not Damis at-least may-learn

35 TIMOCL. τί φής, ὦ ἱερόσυλε Δᾶμι, θεοὺς μὴ εἶναι μηδὲ
what do-you-say O temple-robber Damis gods not to-be nor
προνοεῖν τῶν ἀνθρώπων;
to-take-thought of-the men
DAMIS οὔκ· ἀλλὰ σὺ πρότερος ἀπόκριναί μοι ᾧτινι λόγῳ
no but you first answer me by-what argument
ἐπείσθης εἶναι αὐτούς.
you-were-persuaded to-be them
TIMOCL. οὐ μὲν οὖν, ἀλλὰ σύ, ὦ μιαρέ, ἀπόκριναι.
not indeed then but you O foul-one answer

DAMIS οὐ μὲν οὖν, ἀλλὰ σύ.

not indeed then but you

ZEUS ταυτὶ μὲν παρὰ πολὺ ὁ ἡμέτερος ἄμεινον καὶ

these-things indeed by far the our better and

εὐφωνότερον τραχύνεται. εὖ γε, ὦ Τιμόκλεις, ἐπίχει

more-sonorously is-rough well at-least O Timocles pour-on

τῶν βλασφημιῶν· ἐν γὰρ τούτῳ σοι τὸ κράτος, ὡς

of-the abuses in for this to-you the strength since

τά γε ἄλλα ἰχθύν σε ἀποφανεῖ ἐπιστομίζων.

the-things at-least other fish you he-will-show-up muzzling

TIMOCL. ἀλλά, μὰ τὴν Ἀθηνᾶν, οὐκ ἂν ἀποκριναίμην σοι

but by — Athena not — I-would-answer you

πρότερος.

first

DAMIS οὐκοῦν, ὦ Τιμόκλεις, ἐρώτα· ἐκράτησας γὰρ τοῦτό

then O Timocles ask you-have-won for this

γε ὀμωμοκώς· ἀλλ' ἄνευ τῶν βλασφημιῶν, εἰ δοκεῖ.

at-least having-sworn but without the abuses if it-seems

TIMOCL. εὖ λέγεις· εἰπὲ οὖν μοι, οὐ δοκοῦσί σοι, ὦ 36

well you-say tell then me not seem to-you O

κατάρατε, προνοεῖν οἱ θεοί;

accursed-one to-take-thought the gods

DAMIS οὐδαμῶς.

by-no-means

TIMOCL. τί φής; ἀπρονόητα οὖν ταῦτα ἅπαντα;

what do-you-say unprovided-for then these-things all

DAMIS ναί.

yes

TIMOCL. οὐδ' ὑπό τινι οὖν θεῷ τάττεται ἡ τῶν ὅλων

nor under some then god is-ordered the of-the whole

ἐπιμέλεια;

care

DAMIS οὔ.

no

TIMOCL. πάντα δὲ εἰκῇ φέρεται;

all-things but at-random are-carried

DAMIS ναί.

yes

TIMOCL. εἶτ' ἄνθρωποι ταῦτα ἀκούοντες ἀνέχεσθε καὶ οὐ καταλεύσετε τὸν ἀλιτήριον;

then men these-things hearing do-you-bear-it and not will-you-stone the sinner

DAMIS τί τοὺς ἀνθρώπους ἐπ' ἐμὲ παροξύνεις, ὦ Τιμόκλεις; ἢ τίς ὢν ἀγανακτεῖς ὑπὲρ τῶν θεῶν, καὶ ταῦτα ἐκείνων αὐτῶν οὐκ ἀγανακτούντων; οἵ γε οὐδὲν δεινὸν διατεθείκασί με πάλαι ἀκούοντες, εἴ γε ἀκούουσιν.

why the men against me do-you-incite O Timocles or who being are-you-indignant on-behalf-of the gods and that those themselves not being-indignant who at-least nothing terrible have-done me long-since hearing if at-least they-hear

TIMOCL. ἀκούουσι γάρ, ὦ Δᾶμι, ἀκούουσι, καί σε μετίασί ποτε χρόνῳ.

they-hear for O Damis they-hear and you will-pursue sometime in-time

37 DAMIS καὶ πότε ἂν ἐκεῖνοι σχολὴν ἀγάγοιεν ἐπ' ἐμέ, τοσαῦτα, ὡς φής, πράγματα ἔχοντες καὶ τὰ ἐν τῷ κόσμῳ ἄπειρα τὸ πλῆθος ὄντα οἰκονομούμενοι; ὥστε οὐδὲ σέ πω ἠμύναντο ὧν ἐπιορκεῖς ἀεὶ καὶ τῶν ἄλλων, ἵνα μὴ βλασφημεῖν καὶ αὐτὸς ἀναγκάζωμαι

and when — those leisure could-have for me so-many as you-say affairs having and the-things in the world boundless in-the number being managing so-that not-even you yet have-they-punished for-what you-perjure always and for-the other-things that not to-blaspheme also myself I-be-compelled

παρὰ τὰ συγκείμενα. καίτοι οὐχ ὁρῶ ἥντινα ἂν ἄλλην
against the agreed and-yet not I-see what — other
ἐπίδειξιν τῆς ἑαυτῶν προνοίας μείζω ἐξενεγκεῖν ἐδύναντο
display of-the their-own providence greater to-produce they-could
ἢ σὲ κακὸν κακῶς ἐπιτρίψαντες. ἀλλὰ δῆλοί εἰσιν
than you bad-man badly having-crushed but plain they-are
ἀποδημοῦντες, ὑπὲρ τὸν Ὠκεανὸν ἴσως μετ᾽ ἀμύμονας
being-abroad beyond the Ocean perhaps to blameless
Αἰθιοπῆας· ἔθος γοῦν αὐτοῖς συνεχῶς ἰέναι παρ᾽ αὐτοὺς
Ethiopians custom at-least to-them continually to-go to them
μετὰ δαῖτα καὶ αὐτεπαγγέλτοις ἐνίοτε.
for feast even self-invited sometimes

TIMOCL. τί πρὸς τοσαύτην ἀναισχυντίαν εἴποιμι ἄν, ὦ 38
what to such shamelessness could-I-say — O
Δᾶμι;
Damis

DAMIS ἐκεῖνο, ὦ Τιμόκλεις, ὃ πάλαι ἐγὼ ἐπόθουν ἀκοῦσαί
that O Timocles which long-since I longed to-hear
σου, ὅπως ἐπείσθης οἴεσθαι προνοεῖν τοὺς θεούς.

TIMOCL. ἡ τάξις με πρῶτον τῶν γινομένων ἔπεισεν,
the order me first of-the-things happening persuaded
ὁ ἥλιος ἀεὶ τὴν αὐτὴν ὁδὸν ἰὼν καὶ σελήνη κατὰ
the sun always the same road going and moon in
ταὐτὰ καὶ ὧραι τρεπόμεναι καὶ φυτὰ φυόμενα καὶ
the-same-way and seasons turning and plants growing and
ζῷα γεννώμενα καὶ αὐτὰ ταῦτα οὕτως εὐμηχάνως
creatures being-born and themselves these so ingeniously
κατεσκευασμένα ὡς τρέφεσθαι καὶ κινεῖσθαι καὶ ἐννοεῖν
constructed so-as to-be-nourished and to-move and to-think

καὶ βαδίζειν καὶ τεκταίνεσθαι καὶ σκυτοτομεῖν καὶ τἆλλα·
and to-walk and to-build and to-cut-leather and the-rest
ταῦτα προνοίας ἔργα εἶναί μοι δοκεῖ.
these of-providence works to-be to-me seem
DAMIS αὐτό που τὸ ζητούμενον, ὦ Τιμόκλεις, συναρπάζεις·
itself surely the-thing being-sought O Timocles you-seize-beforehand
οὐδέπω γὰρ δῆλον εἰ προνοίᾳ τούτων ἕκαστον
not-yet for plain whether by-providence of-these each
ἀποτελεῖται. ἀλλ' ὅτι μὲν τοιαῦτά ἐστι τὰ γινόμενα
is-accomplished but that indeed such are the-things happening
φαίην ἂν καὶ αὐτός· οὐ μὴν αὐτίκα πεπεῖσθαι
I-would-say — also myself not indeed at-once to-have-been-persuaded
ἀνάγκη καὶ ὑπό τινος προμηθείας αὐτὰ γίγνεσθαι· ἔνι
necessity also by some forethought them to-come-about it-is-possible
γὰρ καὶ ἄλλως ἀρξάμενα νῦν ὁμοίως καὶ κατὰ ταὐτὰ
for also otherwise having-begun now similarly and in the-same-way
συνίστασθαι, σὺ δὲ τάξιν αὐτῶν ὀνομάζεις τὴν ἀνάγκην,
to-be-constituted you but order their you-call the necessity
εἶτα δηλαδὴ ἀγανακτήσεις εἴ τίς σοι μὴ ἀκολουθοίη τὰ
then plainly you-will-be-indignant if anyone you not should-follow the-things
γινόμενα μὲν ὁποῖά ἐστι καταριθμουμένῳ καὶ ἐπαινοῦντι,
happening indeed of-what-sort they-are enumerating and praising
οἰομένῳ δὲ ἀπόδειξιν ταῦτα εἶναι τοῦ καὶ προνοίᾳ
thinking but proof these-things to-be of-the also by-providence
διατάττεσθαι αὐτῶν ἕκαστον. ὥστε κατὰ τὸν κωμικόν·
to-be-ordered of-them each so-that according-to the comic-poet

τουτὶ μὲν ὑπομόχθηρον, ἄλλο μοι λέγε.
this indeed rather-bad other to-me tell

TIMOCL. ἐγὼ μὲν οὐκ οἶμαι καὶ ἄλλης ἐπὶ τούτοις δεῖν 39
I indeed not think also other for these to-need
ἀποδείξεως. ὅμως δ' οὖν ἐρῶ· ἀπόκριναί γάρ μοι,
proof nevertheless but then I-will-say answer for me
Ὅμηρός σοι δοκεῖ ἄριστος ποιητὴς γενέσθαι;
Homer to-you seems best poet to-have-been
DAMIS καὶ μάλα.
and very
TIMOCL. οὐκοῦν ἐκείνῳ ἐπείσθην τὴν πρόνοιαν τῶν θεῶν
then by-that-one I-was-persuaded the providence of-the gods
ἐμφανίζοντι.
displaying
DAMIS ἀλλ', ὦ θαυμάσιε, ποιητὴν μὲν ἀγαθὸν Ὅμηρον
but O marvelous-one poet indeed good Homer
γενέσθαι πάντες σοι συνομολογήσουσι, μάρτυρα δὲ ἀληθῆ
to-have-been all you will-agree witness but true
περὶ τῶν τοιούτων οὔτ' ἐκεῖνον οὔτε ἄλλον ποιητὴν οὐδένα·
about the such-things neither that-one nor other poet any
οὐ γὰρ ἀληθείας μέλει αὐτοῖς, οἶμαι, ἀλλὰ τοῦ κηλεῖν τοὺς
not for for-truth it-matters to-them I-think but for-the to-charm those
ἀκούοντας, καὶ διὰ τοῦτο μέτροις τε κατᾴδουσι καὶ μύθοις
hearing and because-of this with-meters both they-enchant and with-tales
κατηχοῦσι καὶ ὅλως ἅπαντα ὑπὲρ τοῦ τερπνοῦ μηχανῶνται.
they-din and altogether all-things for the pleasure they-contrive
ἀτὰρ ἡδέως ἂν καὶ ἀκούσαιμι οἵστισι μάλιστα ἐπείσθης 40
but gladly — also I-would-hear by-which most you-were-persuaded
τῶν Ὁμήρου· ἆρα οἷς περὶ τοῦ Διὸς λέγει, ὡς ἐπεβούλευον
of-the of-Homer then which about — Zeus he-says how they-plotted
συνδῆσαι αὐτὸν ἡ θυγάτηρ καὶ ὁ ἀδελφὸς καὶ ἡ γυνή; καὶ
to-bind him the daughter and the brother and the wife and
εἴ γε μὴ τὸν Βριάρεων ἡ Θέτις ἐκάλεσεν ἐπεπέδητο
if at-least not — Briareus — Thetis had-called would-have-been-fettered

ἂν ἡμῖν ὁ βέλτιστος Ζεὺς συναρπασθείς. ἀνθ' ὧν
— for-us the best Zeus seized in-return-for which
καὶ ἀπομνημονεύων τῇ Θέτιδι τὴν εὐεργεσίαν ἐξαπατᾷ τὸν
also remembering — to-Thetis the kindness he-deceives —
Ἀγαμέμνονα ὄνειρόν τινα ψευδῆ ἐπιπέμψας, ὡς πολλοὶ
Agamemnon dream some false having-sent so-that many
τῶν Ἀχαιῶν ἀποθάνοιεν. ὁρᾷς; ἀδύνατον γὰρ ἦν αὐτῷ
of-the Achaeans might-die you-see impossible for it-was for-him
κεραυνὸν ἐμβαλόντι καταφλέξαι τὸν Ἀγαμέμνονα αὐτὸν
thunderbolt having-hurled to-burn-up — Agamemnon himself
ἄνευ τοῦ ἀπατεῶνα εἶναι δοκεῖν. ἢ ἐκεῖνά σε μάλιστα
without the cheat to-be to-seem or those-things you most
εἰς τὴν πίστιν ἐπεσπάσαντο, ἀκούοντα ὡς Διομήδης μὲν
into the belief drew hearing how Diomedes indeed
ἔτρωσε τὴν Ἀφροδίτην, εἶτα τὸν Ἄρη αὐτὸν Ἀθηνᾶς
wounded — Aphrodite then — Ares himself by-Athena's
παρακελεύσει, μετὰ μικρὸν δὲ αὐτοὶ συμπεσόντες οἱ θεοὶ
urging after little but themselves having-clashed the gods
ἐμονομάχουν ἀναμὶξ ἄρρενες καὶ θήλειαι, καὶ Ἀθηνᾶ
fought-in-single-combat pell-mell male and female and Athena
μὲν Ἄρη καταγωνίζεται ἅτε καὶ προπεπονηκότα, οἶμαι,
indeed Ares overcomes as also already-worn-out I-think
ἐκ τοῦ τραύματος ὃ παρὰ τοῦ Διομήδους εἰλήφει,
from the wound which from — Diomedes he-had-received

Λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς;
Leto and stood-against strong helper Hermes

ἢ τὰ περὶ τῆς Ἀρτέμιδός σοι πιθανὰ ἔδοξεν, ὡς ἐκείνη
or the-things about — Artemis to-you persuasive seemed how that-one
μεμψίμοιρος οὖσα ἠγανάκτησεν οὐ κληθεῖσα ἐφ' ἑστίασιν
fault-finding being was-indignant not invited to feast

ὑπὸ τοῦ Οἰνέως, καὶ διὰ τοῦτο σῦν τινα ὑπερφυᾶ καὶ
by — Oeneus and because-of this boar some monstrous and
ἀνυπόστατον τὴν ἀλκὴν ἐπαφῆκεν ἐπὶ τὴν χώραν αὐτοῦ;
irresistible in-the strength let-loose on the land his
ἆρ᾽ οὖν τὰ τοιαῦτα λέγων σε Ὅμηρος πέπεικε;
then then the such-things saying you Homer has-persuaded

VII · DAMIS PREVAILS

The crowd cheers Damis, and Timocles sweats and trembles. Timocles cites the tragedians; Damis answers with Euripides doubting the gods. When Timocles appeals to the belief of all nations, Damis lists how each worships something else, a sword, a dove, fire, an onion, a cat. He mocks the oracle that ruined Croesus and the altars of the Tauri, and when Timocles invokes the thunder, says visitors from Crete report that Zeus's tomb is shown there, while Zeus turns pale. Timocles offers the ship: no ship sails unsteered, so neither does the world.

ZEUS βαβαί· ἡλίκον, ὦ θεοί, ἀνεβόησε τὸ πλῆθος, ἐπαινοῦντες 41
whew how-loud O gods shouted the multitude praising
τὸν Δᾶμιν· ὁ δ᾽ ἡμέτερος ἀπορουμένῳ ἔοικεν· ἱδίει
— Damis the and ours to-one-at-a-loss seems he-sweats
γοῦν καὶ ὑποτρέμει καὶ δῆλός ἐστιν ἀπορρίψων τὴν
at-least and trembles and plain he-is going-to-throw-away the
ἀσπίδα, καὶ ἤδη περιβλέπει οἷ παρεκδὺς ἀποδράσεται.
shield and already looks-around where slipping-out he-will-run-off
TIMOCL. οὐδ᾽ Εὐριπίδης ἄρα σοι δοκεῖ λέγειν τι ὑγιές,
not-even Euripides then to-you does-he-seem to-say anything sound
ὁπόταν αὐτοὺς ἀναβιβασάμενος τοὺς θεοὺς ἐπὶ τὴν σκηνὴν
whenever them having-brought-up the gods onto the stage

δεικνύῃ σώζοντας μὲν τοὺς χρηστοὺς τῶν ἡρώων, τοὺς
he-shows saving indeed the good of-the heroes the
πονηροὺς δὲ καὶ κατὰ σὲ τὴν ἀσέβειαν ἐπιτρίβοντας;
wicked but and according-to you the impiety crushing
DAMIS ἀλλ', ὦ γενναιότατε φιλοσόφων Τιμόκλεις, εἰ
but O noblest of-philosophers Timocles if
ταῦτα ποιοῦντες οἱ τραγῳδοὶ πεπείκασί σε, ἀνάγκη
these-things doing the tragedians have-persuaded you necessity
δυοῖν θάτερον, ἤτοι Πῶλον καὶ Ἀριστόδημον καὶ Σάτυρον
of-two the-one either Polus and Aristodemus and Satyrus
ἡγεῖσθαί σε θεοὺς εἶναι τότε ἢ τὰ πρόσωπα τῶν θεῶν
to-think you gods to-be then or the masks of-the gods
αὐτὰ καὶ τοὺς ἐμβάτας καὶ τοὺς ποδήρεις χιτῶνας
themselves and the buskins and the ankle-length tunics
καὶ χλαμύδας καὶ χειρῖδας καὶ προγαστρίδια καὶ τἆλλα
and cloaks and sleeves and belly-pads and the-rest
οἷς ἐκεῖνοι σεμνύνουσι τὴν τραγῳδίαν, ὅπερ καὶ
with-which those dignify the tragedy which-very also
γελοιότατον· ἐπεὶ καθ' ἑαυτὸν ὁπόταν ὁ Εὐριπίδης, μηδὲν
most-ridiculous since by himself whenever — Euripides nothing
ἐπειγούσης τῆς χρείας τῶν δραμάτων, τὰ δοκοῦντά
pressing the need of-the plays the-things seeming-good
οἱ λέγῃ, ἀκούσῃ αὐτοῦ τότε παρρησιαζομένου,
to-him says you-will-hear him then speaking-freely

ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα
do-you-see the on-high this boundless ether
καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις;
and earth around holding moist in arms
τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.
this-one consider Zeus this-one hold god

καὶ πάλιν,
and again

Ζεύς, ὅστις ὁ Ζεύς, οὐ γὰρ οἶδα, πλὴν λόγῳ κλύων.
Zeus whoever — Zeus not for I-know except by-report hearing

καὶ τὰ τοιαῦτα.
and the such-things

TIMOCL. οὐκοῦν ἅπαντες ἄνθρωποι καὶ τὰ ἔθνη ἐξηπάτηνται 42
then all men and the nations have-they-been-deceived
θεοὺς νομίζοντες καὶ πανηγυρίζοντες;
gods believing and holding-festivals

DAMIS εὖ γε, ὦ Τιμόκλεις, ὅτι με ὑπέμνησας τῶν
well at-least O Timocles that me you-reminded of-the-things
κατὰ ἔθνη νομιζομένων, ἀφ' ὧν μάλιστα συνίδοι τις ἂν
among nations believed from which most could-see anyone —
ὡς οὐδὲν βέβαιον ὁ περὶ θεῶν λόγος ἔχει· πολλὴ γὰρ ἡ
that nothing firm the about gods doctrine holds much for the
ταραχὴ καὶ ἄλλοι ἄλλα νομίζουσι, Σκύθαι μὲν ἀκινάκῃ
confusion and others other-things believe Scythians indeed to-scimitar
θύοντες καὶ Θρᾷκες Ζαμόλξιδι, δραπέτῃ ἀνθρώπῳ ἐκ
sacrificing and Thracians to-Zamolxis runaway man from
Σάμου ὡς αὐτοὺς ἥκοντι, Φρύγες δὲ Μήνῃ καὶ Αἰθίοπες
Samos to them having-come Phrygians but to-Moon and Ethiopians

Ἡμέρᾳ καὶ Κυλλήνιοι Φάλητι καὶ Ἀσσύριοι περιστερᾷ καὶ
to-Day and Cyllenians to-Phales and Assyrians to-dove and
Πέρσαι πυρὶ καὶ Αἰγύπτιοι ὕδατι. καὶ τοῦτο μὲν ἅπασι
Persians to-fire and Egyptians to-water and this indeed to-all
κοινὸν τοῖς Αἰγυπτίοις τὸ ὕδωρ, ἰδίᾳ δὲ Μεμφίταις μὲν
common to-the Egyptians the water privately but to-Memphites indeed
ὁ βοῦς θεός, Πηλουσιώταις δὲ κρόμμυον, καὶ ἄλλοις
the bull god to-Pelusiots but onion and to-others
ἶβις ἢ κροκόδειλος καὶ ἄλλοις κυνοκέφαλος ἢ αἴλουρος ἢ
ibis or crocodile and to-others baboon or cat or
πίθηκος· καὶ ἔτι κατὰ κώμας τοῖς μὲν ὁ δεξιὸς ὦμος
ape and still by villages to-some indeed the right shoulder
θεός, τοῖς δὲ κατ᾽ ἀντιπέρας οἰκοῦσιν ἄτερος· καὶ
god to-the-others but on opposite-side dwelling the-other and
ἄλλοις κεφαλῆς ἡμίτομον, καὶ ἄλλοις ποτήριον κεραμεοῦν ἢ
to-others of-head half and to-others cup earthen or
τρύβλιον. ταῦτα πῶς οὐ γέλως ἐστίν, ὦ καλὲ Τιμόκλεις;
bowl these-things how not laughter is O fine Timocles

MOMUS οὐκ ἔλεγον, ὦ θεοί, ταῦτα πάντα ἥξειν εἰς
not did-I-say O gods these-things all to-be-going-to-come into
τοὐμφανὲς καὶ ἀκριβῶς ἐξετασθήσεσθαι;
the-open and closely to-be-going-to-be-examined

ZEUS ἔλεγες, ὦ Μῶμε, καὶ ἐπετίμας ὀρθῶς, καὶ ἔγωγε
you-said O Momus and you-censured rightly and I
πειράσομαι ἐπανορθώσασθαι αὐτά, ἢν τὸν ἐν ποσὶ τοῦτον
will-try to-set-right them if the at feet this
κίνδυνον διαφύγωμεν.
danger we-escape

TIMOCL. ἀλλ', ὦ θεοῖς ἐχθρὲ σύ, τοὺς χρησμοὺς καὶ 43
but O to-gods hateful you the oracles and
προαγορεύσεις τῶν ἐσομένων τίνος ἔργον ἂν εἴποις
predictions of-the-things going-to-be whose work — would-you-say
ἢ θεῶν καὶ τῆς προνοίας τῆς ἐκείνων;
than of-gods and of-the providence the their
DAMIS σιώπησον, ὦ ἄριστε, περὶ τῶν χρησμῶν, ἐπεὶ
be-silent O best-one about the oracles since
ἐρήσομαί σε τίνος αὐτῶν μάλιστα μεμνῆσθαι ἀξιοῖς;
I-will-ask you which of-them most to-remember do-you-think-fit
ἆρ' ἐκείνου ὃν τῷ Λυδῷ ὁ Πύθιος ἔχρησεν, ὃς ἀκριβῶς
then that which to-the Lydian the Pythian delivered which exactly
ἀμφήκης ἦν καὶ διπρόσωπος, οἷοί εἰσι τῶν Ἑρμῶν ἔνιοι,
two-edged was and two-faced such-as are of-the Herms some
διττοὶ καὶ ἀμφοτέρωθεν ὅμοιοι πρὸς ὁπότερον ἂν αὐτῶν
double and from-both-sides alike to whichever — of-them
μέρος ἐπιστραφῇς; ἢ τί γὰρ μᾶλλον ὁ Κροῖσος διαβὰς
side you-turn or what for more — Croesus having-crossed
τὸν Ἅλυν τὴν αὑτοῦ ἀρχὴν ἢ τὴν Κύρου καταλύσει;
the Halys the his-own rule or the of-Cyrus will-destroy
καίτοι οὐκ ὀλίγων ταλάντων ὁ Σαρδιανὸς ἐκεῖνος ὄλεθρος
and-yet not for-few talents the Sardian that ruin
τὸ ἀμφιδέξιον τοῦτο ἔπος ἐπρίατο.
the ambidextrous this verse bought
MOMUS αὐτά που, ὦ θεοί, ἀνὴρ διεξέρχεται λέγων
the-very-things surely O gods the-man goes-through saying
ἃ ἐδεδίειν μάλιστα. ποῦ νῦν ὁ καλὸς ἡμῖν κιθαρῳδός;
which I-feared most where now the fine for-us lyre-player
ἀπολόγησαι αὐτῷ κατελθὼν πρὸς ταῦτα.
defend-yourself to-him having-gone-down against these-things

ZEUS σὺ ἡμᾶς ἐπισφάττεις, ὦ Μῶμε, οὐκ ἐν καιρῷ νῦν
you us slaughter-besides O Momus not in season now
ἐπιτιμῶν.
censuring

44 TIMOCL. ὅρα οἷα ποιεῖς, ὦ ἀλιτήριε Δᾶμι, μονονουχὶ τὰ
see what-things you-do O sinner Damis all-but the
ἕδη αὐτὰ τῶν θεῶν ἀνατρέπεις τῷ λόγῳ καὶ βωμοὺς
seats themselves of-the gods you-overturn by-the argument and altars
αὐτῶν.
their

DAMIS οὐ πάντας ἔγωγε τοὺς βωμούς, ὦ Τιμόκλεις. τί γὰρ
not all I the altars O Timocles what for
καὶ δεινὸν ἀπ᾽ αὐτῶν γίγνεται, εἰ θυμιαμάτων καὶ εὐωδίας
also terrible from them comes if of-incense and fragrance
μεστοί εἰσι; τοὺς δὲ ἐν Ταύροις τῆς Ἀρτέμιδος ἡδέως
full they-are those but among Tauri — of-Artemis gladly
ἂν ἐπεῖδον ἐκ βάθρων ἐπὶ κεφαλὴν ἀνατρεπομένους, ἐφ᾽
— I-would-see from foundations on head overturned on
ὧν τοιαῦτα ἡ παρθένος εὐωχουμένη ἔχαιρεν.
which such-things the maiden feasting rejoiced

ZEUS τουτὶ πόθεν ἡμῖν τὸ ἄμαχον κακὸν ἐπιχεῖ;
this from-where for-us the irresistible evil does-he-pour
ὡς δαιμόνων οὐδενὸς ἀνὴρ φείδεται, ἀλλ᾽ ἐξ ἁμάξης
how of-gods none the-man spares but from wagon
παρρησιάζεται καὶ
speaks-freely and

μάρπτει ἐξείης, ὅς τ᾽ αἴτιος ὅς τε καὶ οὐκί.
seizes in-order who and guilty who and also not

MOMUS καὶ μὴν ὀλίγους ἄν, ὦ Ζεῦ, τοὺς ἀναιτίους εὕροις
and truly few — O Zeus the guiltless would-you-find
ἐν ἡμῖν· καί που τάχα προϊὼν ὁ ἄνθρωπος ἅψεται
among us and I-suppose perhaps going-on the man will-touch
καὶ τῶν κορυφαίων τινός.
also of-the leaders someone
TIMOCL. οὐδὲ βροντῶντος ἄρα τοῦ Διὸς ἀκούεις, ὦ θεομάχε 45
not-even thundering then — Zeus do-you-hear O god-fighting
Δᾶμι;
Damis
DAMIS καὶ πῶς οὐ μέλλω βροντῆς ἀκούειν, ὦ Τιμόκλεις; εἰ
and how not am-I-to thunder to-hear O Timocles if
δ' ὁ Ζεὺς ὁ βροντῶν ἐστι, σὺ ἄμεινον ἂν εἰδείης
but — Zeus the(-one) thundering is you better — would-know
ἐκεῖθέν ποθεν παρὰ τῶν θεῶν ἀφιγμένος· ἐπεὶ οἵ γε
from-there somewhere from the gods having-come since those at-least
ἐκ Κρήτης ἥκοντες ἄλλα ἡμῖν διηγοῦνται, τάφον τινὰ
from Crete coming other-things to-us relate tomb some
κεῖθι δείκνυσθαι καὶ στήλην ἐφεστάναι δηλοῦσαν ὡς οὐκέτι
there to-be-shown and pillar to-stand showing that no-longer
βροντήσειεν ἂν ὁ Ζεὺς πάλαι τεθνεώς.
would-thunder — — Zeus long-ago dead
MOMUS τοῦτ' ἐγὼ πρὸ πολλοῦ ἠπιστάμην ἐροῦντα τὸν
this I before long knew going-to-say the
ἄνθρωπον. τί δ' οὖν, ὦ Ζεῦ, ὠχρίακας ἡμῖν καὶ
man what but then O Zeus have-you-turned-pale on-us and
συγκροτεῖς τοὺς ὀδόντας ὑπὸ τοῦ τρόμου; θαρρεῖν χρὴ
do-you-chatter the teeth from the trembling to-take-heart it-is-needful
καὶ τῶν τοιούτων ἀνθρωπίσκων καταφρονεῖν.
and the such manikins to-despise

ZEUS τί λέγεις, ὦ Μῶμε; καταφρονεῖν; οὐχ ὁρᾷς ὅσοι
what do-you-say O Momus to-despise not do-you-see how-many
ἀκούουσι καὶ ὡς συμπεπεισμένοι εἰσὶν ἤδη καθ' ἡμῶν
listen and how convinced they-are already against us
καὶ ἀπάγει αὐτοὺς ἀναδησάμενος τῶν ὤτων ὁ Δᾶμις;
and leads-away them having-tied-up by-the ears — Damis
MOMUS ἀλλὰ σύ, ὦ Ζεῦ, ὁπόταν θελήσῃς, σειρὴν χρυσείην
but you O Zeus whenever you-wish chain golden
καθεὶς ἅπαντας αὐτοὺς
having-let-down all them

αὐτῇ κεν γαίῃ ἐρύσαις αὐτῇ τε θαλάσσῃ.
with-very — earth you-could-draw very and sea

46 TIMOCL. εἰπέ μοι, ὦ κατάρατε, πέπλευκας ἤδη ποτέ;
tell me O accursed-one have-you-sailed already ever
DAMIS καὶ πολλάκις, ὦ Τιμόκλεις.
and often O Timocles
TIMOCL. οὔκουν ἔφερε μὲν ὑμᾶς τότε ἢ ἄνεμος ἐμπίπτων
not-then did-it-carry indeed you then either wind falling-on
τῇ ὀθόνῃ καὶ ἐμπιπλὰς τὰ ἀκάτια ἢ οἱ ἐρέττοντες,
the sail and filling the canvas or those rowing
ἐκυβέρνα δὲ εἷς τις ἐφεστὼς καὶ ἔσωζε τὴν ναῦν;
steered but one someone standing-over and saved the ship
DAMIS καὶ μάλα.
and very
TIMOCL. εἶτα ἡ ναῦς μὲν οὐκ ἂν ἔπλει μὴ κυβερνωμένη,
then the ship indeed not — would-sail not steered
τὸ δὲ ὅλον τοῦτο ἀκυβέρνητον οἴει καὶ ἀνηγεμόνευτον
the but whole this unsteered do-you-think and unguided
φέρεσθαι;
to-be-carried

ZEUS εὖ γε, συνετῶς ὁ Τιμοκλῆς ταῦτα καὶ ἰσχυρῷ
well at-least intelligently — Timocles these-things and with-strong
τῷ παραδείγματι.
the example

VIII · THE SACRED ANCHOR

Damis turns the ship against him: if the world has a helmsman, he steers badly, rewarding the wicked and trampling the good. Timocles falls back on his sacred anchor: if there are altars, there are gods. Damis laughs and leaves him clinging to the altars, and Timocles chases him with insults and a potsherd. Hermes consoles the gods with a comic line: few have been persuaded, and most still believe. Zeus says he would rather have Damis as an ally than countless Babylons.

DAMIS ἀλλ', ὦ θεοφιλέστατε Τιμόκλεις, τὸν μὲν κυβερνήτην 47
but O most-god-beloved Timocles the indeed helmsman
ἐκεῖνον εἶδες ἂν ἀεὶ τὰ συμφέροντα ἐπινοοῦντα
that you-would-have-seen — always the-things advantageous devising
καὶ πρὸ τοῦ καιροῦ παρασκευαζόμενον καὶ προστάττοντα
and before the occasion preparing and ordering
τοῖς ναύταις, ἀλυσιτελὲς δὲ οὐδὲ ἄλογον οὐδέν τι
the sailors unprofitable and nor irrational nothing at-all
εἶχεν ἡ ναῦς ὃ μὴ χρήσιμον πάντως καὶ ἀναγκαῖον
had the ship which not useful wholly and necessary
ἦν πρὸς τὴν ναυτιλίαν αὐτοῖς· ὁ δὲ σὸς οὗτος
was for the voyage for-them the but your this
κυβερνήτης, ὃν τῇ μεγάλῃ ταύτῃ νηΐ ἐφεστάναι
helmsman whom on-the great this ship to-be-in-charge
ἀξιοῖς, καὶ οἱ συνναῦται αὐτοῦ οὐδὲν εὐλόγως οὐδὲ
you-think-fit and the shipmates his nothing reasonably nor
κατὰ τὴν ἀξίαν διατάττουσιν, ἀλλ' ὁ μὲν πρότονος,
according-to the worth arrange but the indeed forestay

εἰ τύχοι, ἐς τὴν πρύμναν ἀποτέταται, οἱ πόδες
if it-should-chance to the stern is-stretched the sheets
δ' ἐς τὴν πρῷραν ἀμφότεροι· καὶ χρυσαῖ μὲν αἱ
and to the prow both and golden indeed the
ἄγκυραι ἐνίοτε, ὁ χηνίσκος δὲ μολυβδοῦς, καὶ τὰ
anchors sometimes the goose-head but lead and the-parts
μὲν ὕφαλα κατάγραφα, τὰ δὲ ἔξαλα τῆς νεὼς
indeed below-water painted the-parts but above-water of-the ship
ἄμορφα.
unshapely

48 καὶ αὐτῶν δὲ τῶν ναυτῶν ἴδοις ἂν τὸν μὲν
and themselves and of-the sailors you-would-see — the(-one) indeed
ἀργὸν καὶ ἄτεχνον καὶ ἄτολμον πρὸς τὰ ἔργα
lazy and unskilled and timid toward the tasks
διμοιρίτην ἢ τριμοιρίτην, τὸν δὲ κατακολυμβῆσαί τε
double-pay or triple-pay the(-other) and to-dive both
ἄοκνον καὶ ἐπὶ τὴν κεραίαν ἀναπηδῆσαι ῥᾴδιον καὶ
unhesitating and onto the yard to-leap-up easy and
εἰδότα τῶν χρησίμων ἕκαστα μόνον, τοῦτον ἀντλεῖν
knowing of-the useful-things each only this-one to-bail
προστεταγμένον· τὰ δὲ αὐτὰ καὶ ἐν τοῖς ἐπιβάταις,
ordered the and same also among the passengers
μαστιγίαν μέν τινα ἐν προεδρίᾳ παρὰ τὸν κυβερνήτην
whipping-rogue indeed some in front-seat beside the helmsman
καθήμενον καὶ θεραπευόμενον, καὶ ἄλλον κίναιδον ἢ
sitting and courted and another pervert or
πατραλοίαν ἢ ἱερόσυλον ὑπερτιμώμενον καὶ τὰ ἄκρα
father-beater or temple-robber over-honored and the heights
τῆς νεὼς κατειληφότα, χαρίεντας δὲ πολλοὺς ἐν μυχῷ
of-the ship having-seized charming but many in hold
τοῦ σκάφους στενοχωρουμένους καὶ ὑπὸ τῶν πρὸς
of-the bull cramped and by the in

ἀλήθειαν χειρόνων πατουμένους· ἐννόησον γοῦν ὅπως
truth worse trampled consider at-least how
μὲν Σωκράτης καὶ Ἀριστείδης ἔπλευσαν καὶ Φωκίων,
indeed Socrates and Aristides sailed and Phocion
οὐδὲ τὰ ἄλφιτα διαρκῆ ἔχοντες οὐδὲ ἀποτεῖναι τοὺς
not-even the barley-meal sufficient having nor to-stretch-out the
πόδας δυνάμενοι ἐπὶ γυμνῶν τῶν σανίδων παρὰ τὸν
feet being-able on bare the planks by the
ἄντλον, ἐν ὅσοις δὲ ἀγαθοῖς Καλλίας καὶ Μειδίας καὶ
bilge-water in how-many and goods Callias and Meidias and
Σαρδανάπαλλος, ὑπερτρυφῶντες καὶ τῶν ὑφ' αὑτοῖς
Sardanapalus over-luxuriating and on-those under them
καταπτύοντες.
spitting-down
τοιαῦτα ἐν τῇ νηΐ σου γίνεται, ὦ σοφώτατε Τιμόκλεις· 49
such-things in the ship your happen O wisest Timocles
διὰ τοῦτο αἱ ναυαγίαι μυρίαι. εἰ δέ τις κυβερνήτης
because-of this the shipwrecks countless if but some helmsman
ἐφεστὼς ἑώρα καὶ διέταττεν ἕκαστα, πρῶτον μὲν
standing-over saw and arranged each first indeed
οὐκ ἂν ἠγνόησεν οἵτινες οἱ χρηστοὶ καὶ
not — he-would-have-been-ignorant who the good and
οἵτινες οἱ φαῦλοι τῶν ἐμπλεόντων, ἔπειτα ἑκάστῳ
who the bad of-those sailing-aboard then to-each
κατὰ τὴν ἀξίαν τὰ προσήκοντα ἀπένειμεν
according-to the worth the-things fitting would-have-allotted
ἄν, χώραν τε τὴν ἀμείνω τοῖς ἀμείνοσι παρ' αὑτὸν
— place both the better to-the better beside himself
ἄνω, τὴν κάτω δὲ τοῖς χείροσι, καὶ συσσίτους
above the lower and to-the worse and messmates
ἔστιν οὓς καὶ συμβούλους ἐποιήσατ' ἄν, καὶ τῶν
there-are whom also advisers he-would-have-made — and of-the

ναυτῶν ὁ μὲν πρόθυμος ἢ πρῴρας ἐπιμελητὴς
sailors the(-one) indeed eager either of-prow overseer
ἀπεδέδεικτ᾽ ἂν ἢ τοίχου ἄρχων ἢ πάντως πρὸ τῶν
would-have-been-appointed — or of-side commander or wholly before the
ἄλλων, ὁ δὲ ὀκνηρὸς καὶ ῥᾴθυμος ἐπαίετ᾽
others the(-other) but sluggish and lazy would-have-been-struck
ἂν τῷ καλωδίῳ πεντάκις τῆς ἡμέρας εἰς τὴν
— with-the rope five-times in-the day on the
κεφαλήν. ὥστε σοι, ὦ θαυμάσιε, τὸ τῆς νεὼς τοῦτο
head so-that for-you O marvelous-one the of-the ship this
παράδειγμα κινδυνεύει περιτετράφθαι κακοῦ τοῦ κυβερνήτου
example risks to-have-been-overturned bad the helmsman
τετυχηκός.
having-met

50 MOMUS ταυτὶ μὲν ἤδη κατὰ ῥοῦν προχωρεῖ
these-things indeed now with stream go-forward
τῷ Δάμιδι καὶ πλησίστιος ἐπὶ τὴν νίκην
— for-Damis and full-sail toward the victory
φέρεται.
is-carried

ZEUS ὀρθῶς, ὦ Μῶμε, εἰκάζεις. ὁ δ᾽ οὐδὲν ἰσχυρὸν
rightly O Momus you-guess be and nothing strong
ὁ Τιμοκλῆς ἐπινοεῖ, ἀλλὰ τὰ κοινὰ ταῦτα καὶ
— Timocles devises but the common these and
καθ᾽ ἡμέραν ἄλλα ἐπ᾽ ἄλλοις εὐπερίτρεπτα πάντα
by day others upon others easily-overturned all
ἐπαντλεῖ.
pours-on

51 TIMOCL. οὐκοῦν ἐπεὶ τῆς νεὼς τὸ παράδειγμα οὐ
then since of-the ship the example not
πάνυ σοι ἰσχυρὸν ἔδοξεν εἶναι, ἄκουσον ἤδη τὴν
very to-you strong seemed to-be hear now the

ἱεράν, φασίν, ἄγκυραν καὶ ἣν οὐδεμιᾷ μηχανῇ
sacred as-they-say anchor and which by-no device
ἀπορρήξεις.
you-will-break

ZEUS τί ποτε ἄρα καὶ ἐρεῖ;
what ever then also will-he-say

TIMOCL. ἴδοις γὰρ εἰ ἀκόλουθα ταῦτα συλλογίζομαι,
you-may-see for if consistent these-things I-reason
καὶ εἴ πῃ αὐτὰ δυνατόν σοι περιτρέψαι. εἰ
and if somehow them possible for-you to-overturn if
γὰρ εἰσὶ βωμοί, εἰσὶ καὶ θεοί· ἀλλὰ μὴν
for there-are altars there-are also gods but indeed
εἰσὶ βωμοί, εἰσὶν ἄρα καὶ θεοί. τί πρὸς ταῦτα
there-are altars there-are then also gods what to these-things
φής;
do-you-say

DAMIS ἢν πρότερον γελάσω ἐς κόρον, ἀποκρινοῦμαί
if first I-laugh to fill I-will-answer
σοι.
you

TIMOCL. ἀλλὰ ἔοικας οὐδὲ παύσεσθαι γελῶν· εἰπὲ
but you-seem not-even to-be-going-to-stop laughing tell
δὲ ὅμως ὅπῃ σοι γελοῖον ἔδοξε τὸ εἰρημένον
but nevertheless how to-you laughable seemed the-thing said
εἶναι.
to-be

DAMIS ὅτι οὐκ αἰσθάνῃ ἀπὸ λεπτῆς κρόκης ἐξαψάμενός
that not you-perceive from slender thread having-hung
σου τὴν ἄγκυραν, καὶ ταῦτα ἱερὰν οὖσαν· τὸ γὰρ
your the anchor and that sacred being the for
εἶναι θεοὺς τῷ βωμοὺς εἶναι συνδήσας ἰσχυρὸν οἴει
to-be gods to-the altars to-be having-tied strong you-think

ποιήσασθαι ἀπ᾽ αὐτῶν τὸν ὅρμον. ὥστε ἐπεὶ μηδὲν
to-make from them the mooring so-that since nothing
ἄλλο τούτου φὴς ἔχειν εἰπεῖν ἱερώτερον, ἀπίωμεν
other than-this you-say to-have to-say more-sacred let-us-go-away
ἤδη.
now

52 TIMOCL. ὁμολογεῖς τοίνυν ἡττῆσθαι προαπιών;
do-you-confess then to-have-been-beaten going-away-first

DAMIS ναί, ὦ Τιμόκλεις. σὺ γὰρ ὥσπερ οἱ
yes O Timocles you for like those
ὑπό τινων βιαζόμενοι ἐπὶ τοὺς βωμοὺς ἡμῖν
by some being-forced to the altars for-us
καταπέφευγας. ὥστε, νὴ τὴν ἄγκυραν τὴν ἱεράν,
have-fled-for-refuge so-that by the anchor the sacred
ἐθέλω σπείσασθαι ἤδη πρὸς σὲ ἐπ᾽ αὐτῶν
I-wish to-make-a-truce now with you on very
γε τῶν βωμῶν, ὡς μηκέτι περὶ τούτων
at-least the altars that no-longer about these-things
ἐρίζοιμεν.
we-may-quarrel

TIMOCL. εἰρωνεύῃ ταῦτα πρὸς ἐμέ, τυμβωρύχε καὶ
do-you-speak-ironically these-things to me grave-robber and
μιαρὲ καὶ κατάπτυστε καὶ μαστιγία καὶ κάθαρμα;
foul-one and despicable and whipping-rogue and scum
οὐ γὰρ ἴσμεν οὗτινος μὲν πατρὸς εἶ, πῶς δὲ
not for we-know of-what indeed father you-are how and
ἡ μήτηρ σου ἐπορνεύετο, καὶ ὡς τὸν ἀδελφὸν
the mother your was-a-prostitute and how the brother
ἀπέπνιξας καὶ μοιχεύεις καὶ τὰ μειράκια διαφθείρεις,
you-strangled and you-commit-adultery and the youths you-corrupt
λιχνότατε καὶ ἀναισχυντότατε; μὴ φεῦγε δ᾽ οὖν,
most-gluttonous and most-shameless do-not flee but then

ἕως καὶ πληγὰς παρ᾽ ἐμοῦ λαβὼν ἀπέλθῃς· ἤδη
until also blows from me having-received you-go-away now
γάρ σε τουτῳὶ τῷ ὀστράκῳ ἀποσφάξω παμμίαρον
for you with-this-here the potsherd I-will-slaughter all-foul
ὄντα.
being

ZEUS ὁ μὲν γελῶν, ὦ θεοί, ἄπεισιν, ὁ 53
the(-one) indeed laughing O gods goes-away the(-other)
δ᾽ ἀκολουθεῖ λοιδορούμενος οὐ φέρων κατατρυφῶντα
and follows reviling not bearing mocking
τὸν Δᾶμιν, καὶ ἔοικε πατάξειν αὐτὸν τῷ
— Damis and he-seems to-be-going-to-strike him with-the
κεράμῳ ἐς τὴν κεφαλήν. ἡμεῖς δὲ τί ποιῶμεν ἐπὶ
tile on the head we but what are-we-to-do about
τούτοις;
these-things

HERMES ὀρθῶς ἐκεῖνό μοι ὁ κωμικὸς εἰρηκέναι
rightly that to-me the comic-poet to-have-said
δοκεῖ,
seems

οὐδὲν πέπονθας δεινόν, ἂν μὴ προσποιῇ.
nothing you-have-suffered terrible if not you-pretend

τί γὰρ καὶ ὑπέρμεγα κακόν, εἰ ὀλίγοι ἄνθρωποι
what for also huge evil if few men
πεπεισμένοι ταῦτα ἀπίασι; πολλῷ γὰρ οἱ τἀναντία
persuaded these-things go-away by-much for those the-opposite
γιγνώσκοντες πλείους, Ἑλλήνων ὁ πολὺς λεὼς βάρβαροί
holding more of-Greeks the large populace barbarians
τε ἅπαντες.
and all

ZEUS ἀλλά, ὦ Ἑρμῆ, τὸ τοῦ Δαρείου πάνυ
but O Hermes the — of-Darius very
καλῶς ἔχον ἐστίν, ὃ εἶπεν ἐπὶ τοῦ Ζωπύρου·
well being is which he-said about — Zopyrus
ὥστε καὶ αὐτὸς ἐβουλόμην ἂν ἕνα τοῦτον ἔχειν
so-that also myself I-would-wish — one this-one to-have
τὸν Δᾶμιν σύμμαχον ἢ μυρίας μοι Βαβυλῶνας
— Damis ally than countless to-me Babylons
ὑπάρχειν.
to-belong